3631

ΣΥΜΒΟΛΗ ΕΙΣ ΤΗΝ ΤΟΥ ΠΟΝΤΟΥ ΙΣΤΟΡΙΑΝ.

# ΑΝΔΡΕΟΥ ΛΙΒΑΔΗΝΟΥ

# ΠΕΡΙΗΓΗΣΙΣ.

*Νῦν πρῶτον ἐκ χειρογράφου τῆς ἐν Μονάχῳ βασιλικῆς βιβλιοθήκης δαπάναις Γ. ΣΥΜΒΟΥΛΙΔΟΥ ἰατροῦ, Τραπεζουντίου, ἐξέδωκε*

**Μ. ΠΑΡΑΝΙΚΑΣ**

*Διδ. φιλ.*

Ἀδείᾳ τοῦ ὑπουργείου τῆς δημοσίας ἐκπαιδεύσεως.

ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,
1874

ΤΥΠΟΙΣ ΒΟΥΤΥΡΑ ΚΑΙ Σ/ΑΣ.

# ΠΡΟΛΕΓΟΜΕΝΑ.

Ἐν Μονάχῳ, πόλει Βαυαρῶν πρωτευούσῃ, βιβλιοθήκη ἵδρυται ἐκπρεπεστάτη, ἐν ᾗ καὶ βίβλος τεθησαύρισται χειρόγραφος ἐς τόδε τε ἀνέκδοτος (1), ἄλλα τε ἄλλων περιέχουσα πονημάτια καὶ Ἀνδρέου του Λιβαδηνοῦ ἐπίκλησιν ἐκ Βυζαντίου(2). Οὗτος τὸ κατ' ἀρχὰς ἐρευνῶντι ἄγνωστός μοι τὸ παράπαν εἶναι ἔδοξεν, οὐδ' ἐν τῷ κανόνι τοῖς ἄλλοις

1) Τὸ χειρόγραφον τοῦτο (ἐν ἀρ. 525) ὧδε Ἁρδίτιος (Ign. Hardt) κατέγραψεν ἐν τῷ καταλόγῳ τῶν ἑλληνικῶν χειρογράφων τῇ βιβλιοθήκῃ ταύτῃ ἐναποκειμένων (Τόμ. Ε', σελ. 299). «Bombycinus, in assere, corio albo tectus, et aere clausus in 4⁰ titulis initialibus et marginalibus miniatis, charactere minutissimo et nitidissimo, in folio 176, atramento pallido, oris laceris, saec. XIV, signatus p. 75. n. 2. pessime conservatns et inscriptus».

2) Ἃ ἐν τῷδε περιείληπται ἔστι τάδε. 1. Περιηγητικῆς ἱστορίας ἀναβάσεως Ἀνδρέου, ἤτοι λόγος κ.τ.λ. ἐκ φύλλων 67—95. 2. στιχηρὸν ἴδιον σταυροθεοτοκίον γενόμενον αὐθωρὸν κατὰ τὴν μεγάλην παρασκευήν. 3. ὁμολογία πίστεως μερική. 4. στίχοι εἰς τὴν μετάστασιν τῆς θεοτόκου. 5. ἴαμβοι εἰς τὸ γενέσιον τῆς θεοτόκου. 6. εὐχὴ ἐπὶ λιμῷ καὶ λοιμῷ καὶ φθορᾷ καὶ ζάλῃ καὶ τρικυμίᾳ καὶ ἀνομβρίᾳ καὶ κακώσει λαοῦ. 7. περὶ τοῦ Ἀρμενίου. 8. ἐγκώμιον εἰς τὸν ἱερομάρτυρα Φωκᾶν τὸν θαυματουργόν. 9. ἐπιστολὴ πρὸς τὸν Κερασοῦντος ἱερέα Γεράσιμον. 10. ποίημα ἐν ἰάμβοις ἱκετήριον εἰς τὸν εὐαγγελισμὸν τῆς θεοτόκου. 11. αἰνίγματα τρία. 12. ἐπιστολὴ τῷ ἱερεῖ Κερασοῦντος Γερασίμῳ.

SISMANOGLIO

ἐναρίθμιος, οἳ μετὰ Χριστὸν ἄχρι γοῦν τῆς Βυζαντίου ἁλώσεως κράτιστοι γεγόνασιν ἐν σοφίῃσι τῇ τε ἔσω καὶ τῇ θύραθεν. Ἀλλὰ μὴν βραχέ' ἄττα ἐν τέλει τῆς βίβλου αὐτῷ τῷ Λιβαδηνῷ, ὡς ἔοικε, σεσημείωται τὸν ἄνδρα ὅς ἂν εἴη δηλοῦντα, οὐ μέντοι καὶ τὸν χρόνον, ὧδε· «Ἡ ἁγία Τριὰς βοήθει μοι τῷ σῷ δούλῳ, βροτῶν ἁπάντων οἰκτίστῳ, πρωτοταβουλλαρίῳ καὶ χαρτοφύλακι τῆς Τραπεζουντίων ἁγιωτάτης μητροπόλεως καὶ ταῦτα γράφοντι σὺν τῇδε τῇ δέλτῳ Ἀνδρέᾳ Βυζαντίῳ τῷ Λιβαδηνῷ, καὶ οἱ ἐντυγχάνοντες εὔχεσθε ἄν μοι σωτηρίας τυχεῖν ἀϊδίου.» Ἐξ ὧν οὐκ ἄν τις ἀπιθάνως, οἶμαι, εἰκάσειεν ὅς τις καὶ ὅπου ὁ Λιβαδηνὸς τὰς διατριβὰς ἐποιεῖτο. Τὸν δ' αὖ χρόνον, ὃν ἐβίου, ῥᾷον ἐξευρεῖν ἔχοιμεν ἐξ ὧν αὐτῷ πεπόνηται, τῆς τέ φημι Περιηγήσεως καὶ τῆς Ὁμολογίας πίστεως, ὅθεν δῆλός ἐστι περὶ μεσοῦσαν τὴν τεσσαρεσκαιδεκάτην γεγονέναι ἑκατονταετηρίδα (1360 μ. Χ.), ὅτε Βασίλειος ἐκράτει Κομνηνὸς ὁ Α' ἐν Τραπεζοῦντι καὶ ὁ τούτου υἱωνὸς Ἀλέξιος.

Τούτοις μὲν δήπου ἱκανῶς τὸν Λιβαδηνὸν γνῶναι ἔχομεν οὐδὲν ἄλλοθεν τοῦ ἀνδρὸς πέρι ἀσφαλὲς ἁμωσγέπως εἰδότες. Ἄλλως δὲ τοὔνομα φέρεται μικρὸν παραλάσσον, εἰ δὲ βούλει, καὶ πρὸς Λιβαδηνὸν τὸν ἡμέτερον τοῦτον τρόπον δή τινα ἀναφερόμενον· ἐν γὰρ τῷ καταλόγῳ τῶν Ἑλληνικῶν χειρογράφων τῆς ἐν Φλωρεντίᾳ Λαυρεντιανῆς καλουμένης βιβλιοθήκης, ὃς Βανδίνῃ συντέτακται, ὧδε σεσημείωται (σελ. 417, κώδ. *LXXXV, pl. LXXXIV*)· «Εἰς κριτὴν στίχοι Ἀνδρέου χαρτοφύλακος τοῦ Λιβαδιναρίου·

«Τὸ τῆς δίκης πῦρ ἐνορῶν πρὸ τῆς δίκης
λόγοις, δικαστά, μὴ προληφθῇς τὴν φρένα·
πῦρ γὰρ πέφυκε τῶν λόγων ἡ λαμπρότης
τοὺς τὴν δίκην κλέπτοντας ἐνδίκως φλέγον.»

Ἆρ' ἐστιν ὁ χαρτοφύλαξ, ὡς δὲ δοκεῖ, καὶ νομικὸς οὗτος Ἀνδρέας ὁ Λιβαδινάριος ὁ αὐτὸς τῷ Λιβαδηνῷ χαρτοφύλακι καὶ τούτῳ καὶ δικολόγῳ;

SISMANOGLIO MEGARO



Εἰ δὲ καὶ ἃ τούτῳ γέγραπται ἐς δεῦρό τε ἀνέκδοτα μείναντα διεξέλθοιμεν, εὐσεβῆ τινα καὶ τὰ μάλιστ' ἐλλόγιμον τὸν Λιβαδηνὸν ἴδοιμεν. Καὶ τὸ μὲν εὐσεβὲς ἀρίδηλον ποιεῖ πάντα τά τ' ὄντα καὶ ξυμβαίνοντα, τά τ' ἐσόμενα αὐτῷ τῷ θείῳ ἅπαντα προνοουμένῳ ἀνατιθέμενος, τὴν δ' ἐκ τῶν ξυμφορῶν ἀπαλλαγὴν παρ' αὐτοῦ τοῦ σωτῆρος Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων προσδοκῶν ἄλλων τε καὶ τῆς θεομήτορος. Τὸ δὲ περὶ τοὺς λόγους περισσὸν καὶ χάριεν ὡσαύτως δείκνυσιν ἐμμελῶς καθ' Ἕλληνας γράφων καὶ ἐγκρατὴς τυγχάνων ὧν ἐκεῖνοι ξυγγράψαντες κατέλιπον, ὧν οὐκ ὀλίγα ἄλλοτ' ἄλλῃ παρεμβάλλει ἐκείνοις οἷον γνώμαις τὰ τότε γιγνόμενα ῥυθμίσαι ἅμα καὶ διδάξαι ἐφιέμενος· πολλαχῇ γὰρ ἔστιν ἰδεῖν ῥήσεις ἐξ Ὁμήρου καὶ Πινδάρου (1), ἔτι δ' Εὐριπίδου (2) καὶ τοῦ περιηγητοῦ Διονυσίου (3) εὖ τε καὶ καλῶς κατά γε δίκην τοῖς καιροῖς ἁρμοττομένας καὶ τοῖς ἑκάστοτε ξυμβαίνουσι. Καὶ ῥήτωρ δὲ οὔ τις τῶν τυχόντων ὁ ἀνὴρ ὢν τυγχάνει, οὐδὲ πρὸς τὴν τῶν νόμων ἐπιστήμην κατά γε τὸ τότε ἀπείρως ἔχειν δοκεῖ, ὡς αὐτὸς δηλοῖ φάσκων· «Ἐπεί περ ἀνεῤῥώσθην ἀ-

---

(1) σελ. 6 «ὥστε μιν καὶ χρυσέοισιν ὑπὸ κίοσιν θεῖναι φιλονεικῶν κατὰ Πίνδαρον.» Πινδ. Ὀλυμπ. ς', 1.

(2) σελ. 37 «Ὅταν ἡβᾷ δῆμος, κρεῖσσον ἢ πῦρ κατασβέσαι λάβρον Εὐριπίδ.» Ὀρέστ. 689-690·

« Ὅταν γὰρ ἡβᾷ δῆμος εἰς ὀργὴν πεσών,
ὅμοιον ὥστε πῦρ κατασβέσαι λάβρον.»

(3) σελ. 17.

« κείνοις δ' οὔποτε τερπνὸς ἀκούεται ὁλκὸς ἁμάξης,
οὐδὲ βοῶν μυκηθμὸς ἐς αὔλιον ἐρχομενάων,
ἀλλ' αὔτως, ἅτε θῆρες, ἀνὰ δρία βουκολέονται
νήϊδες ἀσταχύων καὶ ἀπευθέες ἀμήτοιο.»

Διονυσ. Περιηγητ. στίχ. 191-194.

νακτορικῆς τε ἀκολούθως θεραπείας ἀπέλαυον, ἐῤῥέτω φθόνος· τῆς γὰρ τῶν δικολόγων τῇ πόλει ταύτῃ [Τραπεζοῦντι] τιμῆς τὰ πρῶτα εἰχόμεθα, οὐδὲ πρότερον ταύτης ἀπολειπόμενοι». (σελ. 32.)

Τῶν δὲ Λιβαδηνῷ πεπονημένων ἄμεινον δοκεῖ εἶναι ἡ ὑφ' ἡμῶν νῦν τὸ πρῶτον ἐκδιδομένη *Περιήγησις* διά τε τὸ ῥέον τοῦ λόγου καὶ ἄφθονον καὶ τὸ ἐκτενὲς ἅμα καὶ ποικίλον ὧν διέξεισι(1). Καὶ ὄνομα μὲν τῇδε *περιηγητικὴν ἱστορίαν ἀναβάσεως* ἔθετο, ὡς δ' ἄν τις ἐκ πολλῶν οὐκ ἀπιθάνως εἰκάσειεν, ἑταίρων καὶ συνήθων ἐνώπιον εἴρηκε τοῦ σάλου κοπάσαντος καὶ τοῦ ἐμφυλίου πολέμου ἄρτι ἐν Τραπεζοῦντι πέρας εἰληφότος. Τὸν οὖν ἀπὸ τῆς Βύζαντος εἰς Αἴγυπτον πλοῦν καὶ τὴν πρέσβευσιν διεξελθὼν καὶ τὴν εἰς Παλαιστίνην πορείαν, πάλιν αὖ τὴν εἰς Βυζάντιον ἐνείρει ἐπάνοδον καὶ τὸν εἰς Τραπεζοῦντα ἐφεξῆς ἀνάπλουν. Τούτων δ' αὖθις πλείονος δοκεῖ εἶναι ἄξια ἃ ἐν τῇδε τῇ πόλει μετὰ τὸν Βασιλείου Α' ξυνέβη θάνατον, οἷς δεῖ μᾶλλον τὸν νοῦν προσέχειν ἅτε Λιβαδηνῷ αὐτοῖς ἰδόντι ὄμμασι ξυγγεγραμμένοις.

Ἵνα δὲ τὴν βίβλον ξύμπασαν ἔν τε βραχεῖ ἀποδῶμεν καὶ ξυλλήβδην, φέρε προσάψωμεν ἃ αὐτὸς κεφαλαίοις τὴν ξυγγραφὴν ἑκασταχόθι διελὼν ὧδι παρέγραψε.

[Πρόλογος] φύλ. 67 (τοῦ κειμ.). Νόσημα ά. β'. φύλ. 69. Ἀρχή, ἡ εἰς Αἴγυπτον ἔκπλευσις, φύλ. 70. Εἰσβολὴ εἰς Ἀλεξάνδρειαν, εἶτα εἰς Αἴγυπτον, φύλ. 71. Ἔκφρασις Νειλῴου ῥείθρου καὶ τῶν τούτου ὡραίων, φύλ. 71. Εἰς Ἱερουσαλὴμ ἄνοδος καὶ ἔκφρασις ὁδοιπορίας, φύλ. 71. Περὶ Ἱεριχὼ καὶ Γάζης, φύλ. 71. Εἰσβολὴ εἰς Ἱερουσαλὴμ φύλ. 71. Εἰσέλευσις εἰς τὸν ἅγιον νεὼν καὶ προσκύνησις τοῦ ζωοδόχου τάφου, φύλ. 72. Περὶ Βηθλεὲμ ἁγίας, φύλ. 72. Περὶ Ἰορδάνου, φύλ. 72. Ἐξέλευσις Ἱερουσαλὴμ καὶ εἰς Αἴγυπτον κάθοδος, φύλ. 73. Ἀνάπλους εἰς Βύζαντος καὶ κίνδυνος τοῦ πλοός, φύλ. 73. Ἔκφρασις τοῦ κλυδωνίου τοῦ ἐν τῷ Αἰγαίῳ πελάγει, φύλ. 74. Ἐπίκλησις τῆς ἁγνῆς θεοτόκου σὺν εὐχῇ τε καὶ οἰμωγαῖς καὶ δάκρυσι, φύλ. 74. Ἔκστασις καὶ ἐκστάσεως ἔκφρασις, φύλ. 75. Ἐπιστασία τῆς ἁγνῆς θεοτόκου, φύλ. 75. Ἔκφρασις τοῦ χώρου, ᾧ προσωκείλαμεν φύλ. 76. Παλινόστησις εἰς Ἀλεξάνδρειαν, 76. Ἔκπλευσις αὖθις εἰς τὸ Βυζάντιον· εἰσέλευσις καὶ τῶν οἰκείων περίπτυξις, φύλ. 76 Θάνατος τῆς μητρός, φύλ. 77. Νόσημα γ' καὶ θεραπεία πρὸς τῆς ἁγνῆς θεοτόκου, φύλ. 77. Ἐπιστασία τῆς ἁγνῆς θεοτόκου φύλ. 77. Οἰμωγαὶ καὶ θρῆνος ὕπαρ καὶ αἴτησις, φύλ. 77. Εἰσβολὴ Γεωργίου τοῦ μάρτυρος εἰς πρεσβείαν, φύλ. 77. Ἀνάκλισις καὶ εὐχαριστία, φύλ. 78. Ἔκπλευσις εἰς Τένεδον καὶ ἔκφρασις ἤδη τῆς νήσου, φύλ. 78. Νόσημα δ' καὶ ἀνάκλισις, φύλ. 78. Ἀνάπλευσις εἰς Βυζάντιον, φύλ. 78. Ἔκφρασις ἐπίτομος Βυζαντίου, φύλ. 79. Ἔκπλευσις εἰς Τραπεζοῦντα πόλιν, φύλ. 79. Ἔκφρασις Ἀμινσοῦ, φύλ. 79. Ἔκφρασις Πλατάνων, φύλ. 79. Ἔκφρασις Δαφνῶν, φύλ. 79. Εἰσβολὴ Τραπεζοῦντος, φύλ. 79. Ἔκφρασις Τραπεζοῦντος καὶ τῶν ταύτης ὡραίων, φύλ. 80. Τελευτὴ Βασιλείου τοῦ Κομνηνοῦ, φύλ. 81. Ἐμφυλίου μάχης ἀρχὴ καὶ ἡ ἐν τῇ μονῇ τοῦ μάρτυρος Εὐγενίου κατὰ τῶν ὁμοφύλων ἐκστράτευσις καὶ ἧττα τούτων καὶ σφαγή, φύλ. 81. Εὐγενίου τοῦ μάρτυρος εἰσβολή, φύλ. 81. Εὐχὴ εἰς παρθένον ἁγνήν, φύλ. 81. Ἐπέλευσις στρατιᾶς περσικῆς κατὰ Τραπεζοῦντος, φύλ. 82. Παράταξις τῶν ἀστικῶν κατὰ Περσῶν καὶ ἧττα καὶ τῆς πόλεως τούτων ἐρήμωσις, φύλ. 82. Ἔκφρασις παρατάξεως καὶ ἐμπρησμοῦ καὶ κακώσεως καὶ σφαγῆς ἀνθρώπων καὶ καύσεως, φύλ. 82. Εἰσβολὴ Θεοδώρου τοῦ μάρτυρος εἰς πρεσβείαν, εἶτα καὶ ἐπίτομος ἔκφρασις τοῦ μαρτυρίου αὐτοῦ καὶ τῆς τελειώσεως καὶ πρόσκλησις εἰς βοήθειαν, φύλ. 83. Ἐξέλευσις Τραπεζοῦντος καὶ ἀνάπλους εἰς Σκύθας, φύλ. 84. Κατάπλους αὖθις εἰς Τραπεζοῦντα, φύλ. 84. Νόσος ἔτι ε' καὶ θεραπεία τῆς ἁγνῆς θεομήτορος, φύλ. 84. Ἀφαίρεσις ϛ' περιουσίας μοι καὶ πάλιν διὰ τῆς θεομήτορος ἀπαλλαγὴ τῶν

(1) Ταύτην ἐκ τοῦ εἰρημένου χειρογράφου τῆς ἐν Μονάχῳ βασιλικῆς βιβλιοθήκης ἀκριβῶς ὡς οἷόν τε ἦν ἀπεγράψαμεν, ἐκδιδόντες δὲ στίχους τινὰς παρελίπομεν διαταχθέντες.



SISMANOGLIO MEGARO

κακῶν, φύλ. 84. Μνήμη Νικολάου τοῦ πάνυ καὶ εὐχαριστία πρὸς αὐτὸν ἐκ ψυχῆς, φύλ. 85. Νόσος ἔτι στ' σφοδρὰ καὶ δυσίατος καὶ πάλιν διὰ τῆς θεομήτορος ἀνάκλισις, φύλ. 85. Τρίτη κατάσχεσις καὶ τῆς οὐσίας πάσης ἀφαίρεσις καὶ κινδύνου χαλεποῦ τε ῥοπή, εἶτα τῆς πανάγνου ξυμμάχου παρθένου παράδοξος ἀπαλλαγή, φύλ. 85. Γεωργίου, Θεοδώρου, Εὐγενίου πρόσκλησις, φύλ. 85. Εἰσβολὴ Νικολάου Μυρέων καὶ δυσώπησις εἰς θεὸν ἱκετείαις τῆς ἁγνῆς θεομήτορος, φύλ. 86. Οὐσίας ἡ δῄωσις, φύλ. 86. Φήμη ἐλεύσεως ἐκ Βυζαντίου τοῦ Κομνηνοῦ Ἀλεξίου, φύλ. δ6. Ἀνάπλους τοῦ Κομνηνοῦ Ἀλεξίου διὰ Εὐξείνου κόλπου εἰς Τραπεζοῦντα καὶ εἰσέλευσις καὶ ἀνάῤῥησις διὰ τοῦ Σχολαρίου τοῦ μεγάλου δουκός, καὶ τοῦ κυροῦ Μιχαὴλ τῇδε ἀνάσσοντος καθαίρεσίς τε καὶ κάθειρξις, φύλ. 86. Ἔρις τῶν ἐν τέλει πάλιν δεινή, φύλ. 86. Κεραντουντόθεν ἐπίκλησις καὶ γραμμάτων ἔφοδος εἰσκαλούντων με, φύλ. 87. Εἰς Κερασοῦντα κατάπλους καὶ εἰσάφιξις, εἶτα καὶ τῆς πόλεως τῆς δε μερική τις ἔκφρασις, φύλ. 87. Εἰσέλευσις ἐν Κερασοῦντι καὶ ἡ πρὸς τὸν ἀρχιερέα καὶ τὴν ἑταιρείαν ξυναύλισις, φύλ. 87. Πρέσβεων καὶ γραμμάτων Τραπεζουντόθεν εἰσάφιξις, φύλ. 87. Ὁρμὴ βασιλέως διὰ ναυμαχίας εἰς Κερασοῦντα καὶ πολέμου παράταξις ἔσωθέν τε καὶ ἔξωθεν, φύλ. 88. Ἐπιβουλὴ λαθραία τῶν ἀστικῶν κατὰ δουκός, φύλ. 88. Προσφυγὴ τῇ ἀκροπόλει τῆς περὶ ἡμᾶς Κερασοῦντος καὶ προσμονή τις, φύλ. 88. Εἶτα ἐκεῖθεν ἐξέλευσις καὶ ἀπέλευσις εἰς Κεγχρεούς, ἐν οἷς μέγας δοὺξ ἦν ὁ Σχολάριος· ὁ υἱὸς δὲ ἦν αὐτοῦ, ὅς τοὺς σὺν αὐτῷ ξυναθροίσας πάντας μεθ' ἑαυτοῦ τῷ πατρὶ διασώζει εἰς Κεγχρεούς, φύλ. 88. Ὀλολυγαὶ σὺν ἱκετείᾳ πρὸς κύριον διὰ τῆς θεομήτορος ὑπὲρ ἀναῤῥύσεως ἐμῆς, φύλ. 88. Ἀναμνήσεις ἰσχυραὶ τῶν πάλαι αὐτῆς οἰκτιρμῶν καὶ δέησις ἐστενωμένης ψυχῆς πρὸς αὐτὴν καὶ ἁγίων ἐπικλήσεις ξυνήθων, φύλ. 89. Εἴσκλησις τοῦ βαπτιστοῦ Ἰωάννου· εἴσκλησις Νικολάου τοῦ πάνυ καὶ θαυμάτων ἐπίτομος ἔκφρασις· εἴσκλησις Γεωργίου τοῦ πάνυ· εἴσκλησις Θεοδώρου καὶ Εὐγενίου τῶν πάνυ, φύλ. 89. Εὐχὴ πρὸς θεὸν Ἰησοῦν Χριστὸν ἱλαστήριος καὶ ἀνάμνησις ἀρχαίων αὐτοῦ οἰκτιρμῶν καὶ ἀναῤῥύσεως αἴτησις, φύλ. 89.

SISMANOGLIO MEGARO



Τῶν ἀπὸ τῶν παλαιῶν ἱστορίαις διεγείρων τὴν τοῦ θεοῦ ἀγαθό-
τητα, φύλ. 90. Ἐξομολογήσεως προσευχὴ εἰς θεὸν μεμνημένη
τῶν παλαιῶν, φύλ. 90. Αἴσθησις τις, φύλ. 90. Ἔκφρασις
ἐξελεύσεως ἀπὸ Κερασοῦντος καὶ καταφράξεως, φύλ. 91. Ὀ-
λολυγαὶ καὶ δάκρυα, φύλ. 91. Εἰσβολὴ ἐν τῇ νηῒ καὶ ἔκπλευ-
σις καὶ εἰς Κεγχρεοὺς μετακόμισις, φύλ. 91. Ἔκφρασις ἄστεος
Κεγχρεῶν, φύλ. 92. Δέησις σὺν ἱκετείᾳ καὶ δάκρυσι πρὸς τὴν
ἁγνὴν θεοτόκον, φύλ. 92. Πρεσβεία Κεγχρεόθεν εἰς Τραπεζοῦν-
τα καὶ ἀντιπρεσβεία Τραπεζουντόθεν εἰς Κεγχρεούς, φύλ 93.
Εἶτα ἐξέλευσις μετ' ἐγγύης καὶ εἰς Τραπεζοῦντα ἡμῶν ἄφιξις,
φύλ. 93. ['Επίλογος,] φύλ. 93—94.

Τούτοις οὖν εἰκάσαιμεν τὸν Λιβαδηνὸν ἐς ὕστερον τὸν λό-
γον ὑποστρῶσαι ἤδη τῶν μὲν δεινῶν λελωφηκότων, τῶν
δὲ περιοίκων βαρβάρων οὐκέτι ἐπινεμομένων τὴν χώραν.
Τὴν δὲ περὶ λόγους δεινότητα ἐπιδείκνυσθαι βουλόμενος
πάνυ τι χαίρει λόγῳ χρώμενος χαρίεντι τά τ' ἄλλα δι-
εξιὼν καὶ τὰ περὶ Πόντον ἐν Τραπεζοῦντι Βασιλείου θανόν-
τος ἐπισκήψαντα. Καὶ τὸ μὲν πρὸς Βασίλειον τῶν τῇδε ἀ-
πάραντα εὔνουν οὐδαμῇ ξυγκρύψαι ἐθέλει, ἀλλ' οὐ καὶ
τῶν τις κολάκων φαίνεται, οὐδ' ἀλλοπρόσαλλος τῇ μὲν τοῦ-
τον, τῇ δ' ἐκεῖνον σαίνων τῶν κρατούντων ἢ κεχαρισμένα
λέγων, ἀλλ' εὐθύς τις κἀπὸ τοῦ εὐθέος δοκεῖ φίλοις καὶ ξυν-
ήθεσιν εἰς ταὐτὸν ἐλθοῦσιν, ὡς ἔοικε, τἀληθέα εἰπεῖν, διὸ μά-
λιστά τις ἂν αὐτῷ λέγοντι πιστεύειεν οὐκ ἀπεικότως· αὐ-
τὸς γὰρ ἑωρακώς, πολλὰ δ' ἐν τούτοις παθών, νόσοις δὲ καὶ
ζημίαις περιπεσὼν καὶ τὴν οὐσίαν ἀποβαλὼν ἑταίροις ἀν-
δράσιν αὐτῷ συνειδόσιν ἐλάλει καὶ τὴν ἀκρίβειαν αὐτὴν
τῶν γενομένων πάντως εἴρηκεν, ὥσπερ πολλαχοῦ φη-
σιν. Ἅτε δὴ πρὸς εἰδότας τοὺς ἀκούοντας λέγων ὑ-
περβαίνει, ὡς εἰκὸς, τοὺς μετὰ Βασίλειον ἄρξαντας καὶ
τῷ γένει μὴ προσήκοντας αὐτοῖς μὲν οὐκ ὀνομάζων τοῖς
ὀνόμασι, τὰ δὲ ξυμβαίνοντα μόνον ἀφηγούμενος.

«Ἀμέλει καὶ ἦμεν ἔτι καὶ ἄκοντες τὴν Τραπεζουντίων δ-

ρῶντες καὶ τῶν ἡδέων ἐπαπολαύοντες, τῆς δ' ἐνεγκαμένης οὔμενουν ἐπιλανθανόμενοι. Τῷ τοι καὶ τοῖς ἐν τέλει προσηταιρίσμεθα, ὥσπερ καὶ ἀνωτέρω μοι λέλεκται, καὶ δι' αἰδοῦς ἡγόμεθα μάλα πολλῆς καὶ φιλίας ἡμῖν ἐκοινώνουν οὗτοι καὶ δεξιώσεως, ἐῤῥέτω φθόνος, ἅμα καὶ τιμῆς τε ἀνακτορικῆς ἀπελαύομεν, εἰρήσεται γὰρ τἀληθῆ, καὶ χρήσεως τοῖς κρατοῦσιν ἦμεν ἐντεῦθεν αἴτιοι. Βούλομαι μὲν οὖν σιωπῇ τὰ ἑξῆς [τὰ μετὰ τὸν Βασιλείου θάνατον] παραπέμψαι μὴ ἐνείρειν ἐθέλων τοῖς πρόσω θἠμέτερα, ὦ βέλτιστοι· ἀλλ' ἐπειδὴ χωρὶς τούτων ἀκολούθως εἰλέγοιμι, οὐδὲ ἐκπεραίνειν ἀληθείᾳ τὸν λόγον δειξαίμεθα, φέρε τὰ ἑξῆς ὡς οἷόν τε τῷ λόγῳ προσάψωμεν» σελ25 Διόπερ ἡ Λιβαδηνοῦ περιήγησις οὐ μικρὸν πρὸς ἱστορίαν τήν γε τῶν τότε χρόνων ξυμβάλλεται, ὡς ὁ λόγος προϊὼν δηλώσει.

Τὰ περὶ Τραπεζοῦντος καὶ τῶν ταύτης βασιλέων μετὰ τὴν τοῦ Βυζαντίου τῶν Λατίνων ἅλωσιν (1204) δύω ξυνεγραψάτην, ὧν ὁ μὲν Γερμανὸς τῷ γένει Ἰ.Φ.Φαλλμεραΰερος(1), ὁ δ' αὖ ἐξ Ἀλβίωνος ἐκεῖνον ἐν πᾶσι προστησάμενος, τὰ δὲ νῦν Ἀθήνησι τὸν βίον διάγων Γεώργιος ὁ Φινλάϋος(2), στυγνῶ τε δεινῶ τε καὶ ἐπὶ τῇ πρὸς ἡμᾶς κακοηθείᾳ διαβόητω. Κἀκεῖνος μὲν γράφων Μιχαὴλ εἵπετο Παναρέτῳ, ἀνδρὶ Τραπεζουντίῳ, χρονικὸν καθωμιλημένῃ τῇ λέξει γράψαντι, ὃ Θ. ὁ Ταφέλιος τύποις εἰς φῶς ἤγαγεν ἐν τοῖς ἐλάσσοσιν ἐκδοὺς Εὐσταθίου Θεσσαλονίκης Ἀρχιεπισκόπου ἐκείνου τοῦ πάνυ· τούτοις δὲ καὶ τῶν ἡμετέρων καταλεκτέοι Σπυρίδων ὁ Τριανταφυλλίδης «Ποντικὰ» γράψας(3) καὶ Σάββας ὁ Ἰωαννίδης πλείω καὶ ἀμείνω

1) *Geschichte des Kaiserthums von Trapezunt, verfasst von Jac. Ph. Fallmerayer, München 1827.*

2) *G. Einlay's Geschichte Griechenlands. . . und des Kaiserthums Trapezunt (γερμανικὴ μετάφρασις), Tübinhen 1853, ἰδίᾳ δὲ σελ. 333—474.*

(3) Περικλέους Τριανταφυλλίδου « Ἡ ἐν Πόντῳ ἑλληνικὴ

SISMANOGLIO MEGARO



ἐν τῇ αὐτοῦ «Ἱστορίᾳ καὶ στατιστικῇ Τραπεζοῦντος»(1). Καίτοι δ' ἐν Μονάχῳ οἰκῶν Φαλλμεραΰερος κἀν τῇ δαψιλεστάτῃ τῆς πόλεως διημερεύων βιβλιοθήκῃ (ἧς οὐδ' αὐτοὶ ἐπιλησόμεθα εὐσεβεῖ γνώμῃ παρὰ πάντα τὸν βίον οὐδὲ τοῦ ταύτης γεραροῦ ἐπιστάτου Καρόλου Χαλμίου χάριτας οὐ τὰς τυχούσας ἄγοντες) παρεῖδεν ὅμως Λιβαδηνὸν τὸν ἡμέτερον ἐπιγραφῇ, ὡς ἔοικε, παραχθεὶς λόγον δή τινα παρεχούσῃ, ὥςπερ προείρηται.

Εἰ δὲ τὰ ἀμφοτέρων ἀλλήλοις συγκρίναιμεν, εὕροιμεν τὰ μὲν Παναρέτου καὶ δὴ καὶ Φαλλμεραϋέρου ἐν τῇ ἱστορίᾳ Τραπεζοῦντος καὶ ἑτέρωθεν διαπεπονημένῃ ἐπὶ πολὺ διήκοντα, τὴν δ' αὖ Λιβαδηνοῦ περιήγησιν καίτοι ῥητορικώτερον ξυντεθειμένην, ἀλλὰ μὴν βραχυτέραν μέν πως, βεβαιοῦσαν δὲ τὰ ἐκείνοις εἰρημένα. Ἐκ τούτων τοίνυν συγκρινομένων τίς τίνος ἀκριβέστερον εἴρηκε γενήσεται φανερόν. Τὴν δ' ἀμφοτέρων ἀφήγησιν δυσὶν ὅροις διχῇ ἂν διέλοιμεν, πρῶτον μὲν τῇ Βασιλείου Α' τελευτῇ ἔτει 1340 γενομένῃ, εἶτα ὅτε τὴν Τραπεζουντίων ἀρχὴν ἔτεσιν 9 ὕστερον Ἀλέξιος Γ' ὁ Κομνηνὸς παρέλαβεν ὁ Βασιλείου τοῦ Α' μετὰ τὸν ἐμφύλιον πόλεμον (1349).

Ἃ μὲν τοίνυν ἐν τούτῳ ξυνέβη τοῦ χρόνου Φαλλμεραΰερος ἐν τῇ Τραπεζοῦντος Ἱστορίᾳ ἀκριβείᾳ χρώμενος ὡς οἷόν τε ἐφεξῆς διέρχεται (σελ. 175-193) καὶ Λιβαδηνὸς ὡσαύτως (σελ.25-26) (2). Ἐκ γὰρ Βυζαντίου εἰς Τραπε-

φυλὴ ἤτοι τὰ Ποντικὰ» ἐν Ἀθήναις 1866.

(1) Σάββα Ἰωαννίδου «Ἱστορία καὶ στατιστικὴ Τραπεζοῦντος καὶ τῆς περὶ ταύτην χώρας ὡς καὶ τὰ περὶ τῆς ἐνταῦθα ἑλληνικῆς γλώσσης» ἐν Κωνσταντινουπόλει 1870.

(2) Τῆς ἐν Τραπεζοῦντι αὐτοκρατορίας ἱδρυτὴς ἐγένετο (τῷ 1204-1222) μετὰ τὴν ὑπὸ Λατίνων τοῦ Βυζαντίου ἅλωσιν Ἀλέξιος υἱὸς Μανουὴλ τοῦ Κομνηνοῦ, υἱωνὸς δὲ Ἀνδρονίκου τοῦ τελευταίου ἐν Βυζαντίῳ Κομνηνοῦ αὐτοκράτορος. Μετ'

ζοῦντα ἀναπλεύσας μετὰ τὴν ἐξ Αἰγύπτου πρέσβευσιν οὐ μόνον τοῖς ἐν τέλει δοκεῖ τὴν εὔνοιαν ἐπισπάσασθαι τῶν ἐπιφανῶν τις τυγχάνων, ἀλλὰ καὶ αὐτοῦ δὴ τοῦ τότε τῆς χώρας ἀνάσσοντος Βασιλείου, ἐν δὲ τῇ ἱερᾷ τῆς πόλεως μητροπόλει πρωτοταβουλάριος ἀνεδείχθη καὶ χαρτοφύλαξ ὡς τῶν νομικῶν ἐμπειρίαν οὐ τὴν τυχοῦσαν τό γε τότε ἔχων(1). Οὕτω δὴ τῶν κατ'αὐτὸν κατὰ ῥοῦν φερομένων, ὡς

---

αὐτὸν δὲ τῆς χώρας ἐκράτησαν οἵδε·

'Ανδρόνικος Α' ὁ Γῖδος καὶ Ἰωάννης Α' ὁ 'Αξοῦχος (1222-1235-1238).

Μανουὴλ (1238-1263).

'Ανδρόνικος Β' (1263-1266). Γεώργιος Α', (1266-1280). καὶ Ἰωάννης Β',(1280-1298).

'Αλέξιος Β', (1298-1330).

'Ανδρόνικος Γ', (1330 μῆνας 18).

Μανουὴλ Β', (1331 μῆνας 6).

ΒΑΣΙΛΕΙΟΣ Α', (1332-1338 ἢ 1339).

'Εποχὴ ἐτῶν ἐννέα ἐμφυλίων ἐρίδων. Εἰρήνη, Ἄννα ἡ 'Αναχουτλοῦ, Μιχαὴλ υἱὸς Ἰωάννου Β' εὐθέως ἐκβληθείς, Ἰωάννης (1342), Μιχαὴλ αὖθις (1349).

ΑΛΕΞΙΟΣ Γ', υἱὸς Ἰωάννου υἱοῦ Βασιλείου (1349-1390).

Μανουὴλ Γ' (1390-1417).

'Αλέξιος Α' (1417-1446).

Ἰωάννης Γ' ἢ Καλογιάννης (1446-1458).

Δαβὶδ ὁ Κομνηνὸς ὁ τελευταῖος (1458-1462).

Σάββα Ἰωαννίδου Ἱστορ. καὶ στατιστικὴ Τραπεζοῦντος σελ. 44-117.

1) Ὁ Χαρτοφύλαξ κάτοχος ἦν ἀξιώματος ἐκκλησιαστικοῦ τῆς ά. πεντάδος. «Ὁ Χαρτοφύλαξ, κρατῶν τὰ ἐκκλησιαστικὰ χαρτῷα δικαιώματα, κριτὴς τῶν ὅλων ὑποθέσεων τῶν ἐκκλησιαστικῶν, ἔχων τὰς γαμικάς ὑποθέσεις, ἀλλὰ καὶ ἐν ταῖς λοιπαῖς τῶν κληρικῶν ὑποθέσεσιν ἔκδικος ὡςδεξιὰ τοῦ ἀρχιερέως χείρ». Κωδινοῦ Κουροπαλάτου περὶ τῶν ὀφφικιαλίων



ὁ λόγος, πάλιν ἀναζεῦξαι ἔγνω πρὸς τὴν κλεινὴν τότε τοῦ Βύζαντος καὶ γειναμένην, οὐ μέντοι καὶ πόλλ' ἐφιέμενος οὐκ ἔτυχε Βασιλείου κελεύσαντος.

---

τοῦ παλατίου Κωνσταντινουπόλεως κτλ. Κεφ. ά (σελ. 4),ἔκδ.
Βόννης. Περὶ τούτου ὁ Gretser σημειοῖ αὐτόθι σελ. 126
—127. Ipse enim sua in potestate habebat ἐκκλησια-
στικὰ χαρτῷα δικαώματα, litteras in quibus jura et privi-
legia ecclesiae continebantur; uno verbo archivum di-
cere possis· κριτὴς τῶν ὅλων ὑποθέσεων τῶν ἐκκλησιαστι-
κῶν, ἔχων τὰς γαμικὰς ὑποθέσεις, judex omnium ecclesia-
sticarum causarum et matrimonialium controversiarum,
ἀλλὰ καὶ ἐν ταῖς λοιπαῖς τῶν κληρικῶν ὑποθέσεσιν ἔκδικος,
ὡς δεξιὰ τοῦ ἀρχιερέως χείρ, quin et in caeteris clericorum
causis cognitor et judex est et tanquam dextra patriar-
chae manus.'Εν δὲ τῷ Juris GR tom. 1 fol. 458 τὸ ἀξίωμα
τοῦ χαρτοφύλακος ὧδε περιγράφεται. «Τὰς πατριαρχικὰς δια-
γνώσεις καλλιγραφεῖ καὶ ὑπογραφαῖς οἰκείαις καὶ σφραγῖσι κα-
τεμπεδοῖ καὶ μεγάλου δικαστηρίου προκάθηται καὶ δικαιοδο-
τεῖ κατὰ μὲν παντὸς ἀνθρώπου καὶ οἵας ἂν εἴη τύχης καὶ φύσε-
ως, περὶ ἐκκλησιαστικῶν ζητημάτων καὶ σφαλμάτων ψυχι-
κῶν διορθώσεως, κατὰ δὲ ἱερωμένων καὶ μοναχῶν περὶ πάσης
ἐγκληματικῆς καὶ χρηματικῆς αἰτιάσεως» αὐτόθι. Οὗτος εἶ-
χεν ὑφ'ἑαυτὸν καὶ ἑτέρους, ἐν οἷς δώδεκα γραμματεῖς. Αὐτόθι.
Ὅρα καὶ Χρυσάνθου Νοταρᾶ τοῦ Ἱεροσολύμων Συνταγμάτιον
σελ. θ'. Ὁ μέγας Χαρτοφύλαξ ἦν ἐκ τῆς τάξεως τῶν ἱεροδι-
ακόνων, ἦν ὅμως καὶ πρεσβύτερος.

Ὁ δ' αὖ Ταβουλάριος ὡσαύτως τῆς ζ' πεντάδος· Κωδινοῦ
Κουροπαλάτου αὐτόθι σελ. 6. «Ὁ πριμικήριος τῶν ταβου-
λαρίων.» Αὐτόθι σελ. 154 φαίνονται Ταβουλάριοι ὄντως νο-
τάριοι καὶ γραμματεῖς, πριμικήριος ὅθεν ὁ πρῶτος καὶ ὑφ' ἑ-
αυτὸν ἔχων ἑτέρους νοταρίους ἢ γραμματεῖς. Ὁ Χρύσανθος
ὅμως αὐτόθι (1) σελ. λή λέγει· «Πριμικήριος κατὰ Σουΐ-
δαν λέγεται ὁ πρῶτος τῆς τυχούσης τάξεως. Κατὰ Μοσχό-

«Ταύτῃ τοι καὶ μετά τινα καιρὸν οὐ πάνυ βραχὺν τοῖς ἐν τέλει τελέως προσηταιρίσμεθα καὶ οὐ μαλακόν τι καὶ ὑφειμένον, ἀλλὰ καὶ λίαν στεῤῥῶς καὶ ὑπερκειμένως. Ἐντεῦθεν καὶ τοῖς κρατοῦσι ξυνήθεις κατέστημεν καὶ λίαν ᾠκειώμεθά τε καὶ πεφιλήμεθα οὔμενουν ἀγνοούμενοι πρότερον· πάλαι γὰρ ὄντι ἐν τῇ βασιλίδι τῶν πόλεων κἀκεῖ τὰς διατριβὰς ποιουμένῳ τῷ Τραπεζοῦντος ἀνάσσοντι προσηταιρίσθημεν, ἀπέστω φθόνος καὶ φόβος βαλλέσθω πόῤῥω, καὶ ξυνήθεις τούτῳ ἀῤῥήκτοις φιλίας νόμοις γεγόναμεν. Βασίλειος δ' ἦν οὗτος, ὁ τοῦ μεγάλου Ἀλεξίου υἱὸς μέγας Κομνηνὸς ὁ ἀείμνηστος. Τούτων δὲ οὕτως ἐχόντων, ὦ ἄνδρες, τὴν ἐς πατρίδα πάλιν ἐπάνοδον ἐποθοῦμεν καὶ κέντρον ἦν μοι διὰ παντὸς ὁ τοῦδε πόθος ἀέναον. Ὅθεν καὶ πρέσβεις τοῖς κρατοῦσι πολλάκις ἀπέστελλον δι' αὐτῶν ἀπαλλαγῆναι ζητῶν κἂν ἥκιστα τὴν ἔφεσιν ἤνυον. Ἀλλ' ἡμῖν μὲν τὸ ἐξ ἐφέσεως οὕτω ξυνεχῶς ἐσπουδάζετο καὶ αἴτησις ἦν ἁπασῶν οὐ τυχοῦσα τῷ ἀνεθῆναι καὶ ἀπελθεῖν. Ἄλλως δ' ὡς ἔοικε τῇ προνοίᾳ ἦν ὡρισμένον κρεῖττόν τι περὶ ἡμᾶς κρίμασιν οἷς οἶδεν ἀῤῥήτοις τοῦ θεοῦ προβλεπομένου, οἶμαι, παντάπασιν.» σελ. 24

Ἀλλ' ἐν μέσῳ Βασιλείου θανόντος (1340) ὁ Λιβαδηνὸς τῆς τούτου μερίδος γενόμενος ταῖς μεγίσταις τῶν ξυμφορῶν περιέπεσε. Καὶ δὴ τἄλλα μὲν διεξιὼν τὰ γενόμενα μετὰ τὸν ἐκείνου θάνατον σιγῇ τοὺς ἄρχοντας παρέρχεται, οὐδ' ὁπόθεν καὶ οἵτινές εἰσι τῷ γένει οὐδ' ὁπωστιοῦν εἴρηκε μίσει πρὸς αὐτοὺς ἄλλως δὲ καὶ γνωρίμους τοῖς ἀκούουσι τυγχάνοντας.

«Εὐροοῦσι τοίνυν καὶ καλῶς ἔχουσι περὶ τῇδε φθάνει τελευτὴ Κομνηνοῦ Βασιλείου δεινὸν ἐπελθοῦσα οἷά τις συμφορῶν κυκεὼν καὶ ὀλέθρων Αἰγυπτίων πληγαῖς ἄλλη δεκάπληγος μεῖζον ἡμῖν βαρυτέρα τῆς εὐδαιμονίας ἡμῖν καὶ τῇ πόλει τοῦ βασκάνου διαφθονήσαντος. Ἄρτι γὰρ ἐκείνου πρὸς θεὸν μεταστάντος ἡμῖν καὶ ἀμφοῖν τὰ δεινὰ τῶν κακῶν ἐπεισέφρησεν· οὔπω γὰρ τὸ πένθος ἐλώφησε, καὶ ἡ τῶν ἐν τέλει ἄστατος ἔρις, οἴμοι, καθ' ἑαυτῶν ἀνηγείρετο, πρᾶγμά τι πᾶσιν ἀνθρώποις ἀῤῥήτου θείας ἐκτὸς προνοίας λύειν ἀμήχανον. Τοῦτο τοίνυν οὕτως ἔχον εἰδὼς καὶ ὡς ἐπὶ κακῷ τὰ παρόντα τῇδ' ἐπιῤῥεύσει κατὰ νοῦν γε βαλλόμενος ἀπαίρειν τῆς δε κατήπειγμαι πάσῃ χρώμενος πείρᾳ, πάντα δηλονότι τῷ λόγῳ κινούμενος κάλων καὶ οὐδ' οὕτως ἀπήλλαγμαι. Μέσος τοίνυν ἐναπολειφθεὶς ξυμφορῶν οὐκ εἶχον ὅ,τι καὶ γένοιμι, ἐδεόμην δὲ τοῦ θεοῦ μάλα καὶ θερμὸν ἠντιβόλουν διὰ τῆς θεομήτορος ἀπαλλαγῆναι τῶν δυσχερῶν. Ἀλλ' εἰ ἐκκακοίημεν ἀμωσγέπως ἐπὶ μυρίαις ταῖς συμφοραῖς, ὑπό γε προνοίας πάλιν ἀνείμεθα.» σελ. 25

Εἶτ' ἐμφύλιόν φησιν ἐπισκῆψαι πόλεμον καὶ στάσιν τῶν ἐν τέλει μηνὸς Ἐπιφὶ (Ἰουλίου)(1) ἐν τῇ παρὰ τὴν πόλιν μονῇ Εὐγενίου τοῦ μάρτυρος, οὗ οἱ ἐναντίοι ἡττηθέντες ἐσφάγησαν.

---

πουλον «πριμικήριος ἄρχων τις» κτλ. Ὅθεν πριμικήριος τῶν ταβουλαρίων καὶ πρωτοταβουλάριος εἶναι τὸ αὐτό. Ταβουλάριοι δὲ (κατὰ Χρύσανθον αὐτόθι σελ. λθ') διάφοροι ἦσαν τῶν νοταρίων· «Καὶ τῶν μὲν Νοταρίων ἴδιον ἔργον ἦν εἰς τὸ νὰ σημειόνωσι καὶ νὰ γράφωσι τὰ τυχόντα ἐκ μέρους τοῦ πατριάρχου καὶ τῆς αὐλῆς γράμματα, τῶν δὲ ταβουλαρίων ἢ ταβελλιώνων (σημαίνει δὲ ἡ λέξις τοὺς γράφοντας ἐν σανίσι, διατὶ ταβέλλα κατὰ Λατίνους λέγεται ἡ σανίς· ὅθεν ταβελλάριος ὁ ἐν σανίσι γράφων) ἔργον ἦν νὰ γράφωσι τὰ κοινὰ συμβόλαια, διὰ τοῦτο καὶ εἰς τὰ ἑλληνικὰ νόμιμα οἱ τοιοῦτοι *συμβολαιογράφοι* λέγονται, οἵτινες καὶ σιμὰ εἰς τοὺς πολλοὺς νομικοὶ ἐλογίζοντο, ἐπειδὴ καὶ αὐτοὶ ἔγραφον τὰς διαθήκας τῶν πολιτῶν, τὰς συνθήκας καὶ ἁπλῶς κάθε κοινὸν ἔγγραφον καὶ τὸ ἐβεβαίονον μὲ ἰδίας αὐτῶν ὑπογραφάς.

1) Εἰ δὲ κἀντεῦθεν μικρὰ τὴν γεωγραφίαν βλέποντα κερδαίνομεν, ἀλλὰ μέντοι Λιβαδηνὸς ἄμεννον τῶν ἄλλων τὰ τῶν πόλεων ὀνόματα εἴρηκε Λίμνας καὶ οὐχὶ Λίμνια γράφων, Κεγχρεοὶ ἢ Κεγχρεῶν οὐχὶ δὲ Κεγχρινά, καὶ εἴ τι ἕτερον.

Καὶ τὰ μηνῶν ὀνόματα οὐ τοῖς ῥωμαϊκοῖς ἀπέφηνεν ὁ-

«Τίς τοίνυν ἑώρακε τῶν ἀστικῶν καὶ ἐπηλύδων τότε τὸν ἐμφύλιον πόλεμον καὶ ἀδακρυτὶ παρῆλθε τὴν ἀνάγκην τοῦ πτώματος; ἣν δὴ κατ' ἀλλήλων ἐμφύλων ὁμοῦ καὶ πιστῶν τῷ θεῷ μοῖρά τις τῶν κακῶν ἐσχεδίασε καὶ τοῦτο ξυνέβαινε τῶν ἐν τέλει μᾶλλον τοῖς προὔχουσι. Τίς τὴν συμφορὰν οὐκ ἐπένθησεν; ἢ τίς ἰδὼν ἢ ἀκούσας καὶ μαθὼν τὸ μύσος τῆς ἀλληλοφονίας οὐ θρηνῶν ἀνῳμώξατο; Οἶδεν Εὐγενίου καλλινίκου μονὴ ταῦτα τοῦ μάρτυρος καὶ οἱ τὸν Εὔξεινον τουτονὶ Κόλχον ἁπλῶς ναιετάοντες ἄνθρωποι, ὥς τι φάναι κατ' ἔπος, τῷ γεγονέναι πᾶσι ταῦτα περίπυστα. Ἔγωγε δ' οὖν καὶ ταύτης εἴσω τότε τυχὼν τῆς ἀνάγκης ἑάλων, οἴμοι, καὶ τῆς πείρας ἔργον γεγένημαι, ὅτι περ ἐν μέρει θεσμοῖς φιλίας προσηταιρικῶς τοῖς πεπτωκόσι πεφώραμαι.... Ἐκβολαὶ δὲ ἦσαν Ἐπιφὶ καλανδῶν ἡμερῶν δεινοτάτων, ὅτε ταῦτά μοι γέγονεν ἀρχῆθεν τοῦ μηνὸς τοῦδε ἀρξάμενα.» σελ. 26-27

Μετὰ δὲ ἐνιαυτὸν ὅλον μηνὸς Πανέμου (Ἰουλίου) Πέρσας φησὶ Λιβαδηνὸς ἐπιδραμεῖν τὴν χώραν, οἳ τὴν τῆς πόλεως δύναμιν εἰς φυγὴν τρέψαντες τὴν μὲν χώραν ἐδῄουν, τὴν δὲ Τραπεζοῦντα αὐτὴν πυρὶ παρέδοσαν.

«Οὔπω γὰρ Ἄρεως ἐξ ἐμφύλου δεινοῦ ἡ πόλις ἀνέπνευσεν ἔτους ἑνὸς μεταξὺ παριππεύοντος κατ' ἦμαρ ὡς ἔπος καὶ μῆνα τὸν Πάνεμον, καθ' ὃν καὶ ὁ ἐμφύλιος ὥπλιστο, καὶ φάλαγγές τινες ὁμοῦ Περσικαὶ συῤῥαγεῖσαι τῇ τῶν Τραπεζουντίων πόλει ἐπεδεδραμήκεσαν λήϊα πάντα πιμπρᾶσαι καὶ ἀφανίζουσαι, χώρας τ' ἐρημοῦσαι καὶ κατοῤῥωδοῦσαι τὰ πάνδεινα.... Ἡτοίμαστο τοίνυν καὶ τὰ τῇδε στρατεύματα καὶ ἡ ξυμπλοκῆς ἡμέρα παρασκευῆς ἧς εἶχον ἀφώριστο. Τί δὲ δεῖ τὰν μέσῳ μακρηγορεῖν; ἀστικοὶ βαρβάροις ἐσμίγνυντο καὶ νικῶσιν οἱ βάρβαροι·

---

νόμασιν, ἀλλ' ἀραβικοῖς καὶ μακεδονικοῖς πολυμαθίην ἐν οὐ δέοντι ἴσως ἐπιδεικνύμενος· ὅρα δέ μοι καὶ ταῦτα ἐν πολλαῖς ἐθνῶν γλώσσαις εἰρημένα αὐτῷ τῷ Λιβαδηνῷ ἐν τέλει τῆς βίβλου ἐκτυπούμενα.

SISMANOGLIO MEGARO



ὢ τῆς ἀνοχῆς σου πανύψιστε, νῶτα δὲ Πέρσαις ἀστικοὶ ἐνδιδοῦσι καὶ φεύγουσι καὶ πίπτουσι καὶ ἀναιροῦνται πολλοὶ διωκόμενοι καὶ ψιλοὶ μὲν πάντες ἀκοντισταὶ καὶ τοξόται καὶ οἱ καλούμενοι ἀσπιδηφόροι. Ἐπεὶ καθ' ἅπαξ ἑάλων δειλίᾳ καὶ δέει, σφαῖρα καταπρανὴς ὡς ἦσαν ἐκφεύγοντες, ἱππεῦσι δὲ Πέρσαις ἡλίσκοντο καὶ πάντες ἐλεεινῶς ἀνῃροῦντο χωρὶς ἐνίων ποδῶν χρησαμένων ὠκύτησιν ἄχρις αὐτῶν τειχέων τοῦ ἄστεως καταδεδραμηκυίας τῶν βαρβάρων τῆς φάλαγγος. Ἀλλ' οὗτοι μὲν νίκαις κατεπαρθέντες καὶ θράσει, οἷα φιλεῖν εἰώθει τὸ βάρβαρον, κύκλῳ στοιχηδὸν τὰ τείχη περιστοιχίσαντες τί μὲν οὐκ ἔπραττον τῶν κακίστων; τί δ' οὐκ ἔλεγον τῶν ἐχθίστων; ἔστι δ' ὅτε καὶ πείραις σφοδραῖς ἀντεπῆγον, ἵν' εἴσω τῆς πόλεως γένοιντο· ἤδη γὰρ ἔβαλον πῦρ πανταχῇ καὶ τὰς πέριξ ἀγλαΐας ἠφάνιζον καὶ τοῦ πυρὸς αἱ φλόγες ἔνευον τοῦ ἄστεως ἔξωθεν διαπεττευθεῖσαι ὡς μὲν βρέμουσαι, ὡς δὲ ἀπειλοῦσαι καὶ μητινοσοῦν ἀπολείπουσαι μέγα τι τοῖς βαρβάροις τὸ θράσος ἐνῆκαν. Εἴσω γὰρ ἁπάντων τοῦ τείχεος ἀποκλεισθέντων μετὰ πολλῆς τοῦ λοιποῦ καὶ δαψιλοῦς τῆς ἀδείας διαφθείροντες ἦσαν πάντα οἱ βάρβαροι, πῦρ δὲ ἡ πόλις ὅλη γε, πῦρ δὲ ἔξωθέν τε καὶ ἔσωθεν ἦν καὶ τὸ πῦρ ὡς ἐμοὶ γ' οὖν δοκεῖν ὅλον θεήλατον ἦν καὶ μέγα τι σμερδαλέον ὡς ἔπος κονάβιζε· πῦρ γὰρ τῶν βαρβάρων ἔξω που βαλόντων τῆς πόλεως μέρει αὖραι παραχρῆμα σφοδραί τε καὶ βίαιοι πνεύσασαι μηδόλως πνοῆς πνεούσης τὸ πρότερον (αὐχμώδης γὰρ ἦν ἡ ἡμέρα σφόδρα ἐκείνη καὶ κυνῴου ἄστρου καυσώδης ἐπιτολή) τάς τε βρομίους προὔπεμπον εἴσω τοῦ ἄστεως καὶ λιθίνους οἴκους καὶ ἱερὰ μηδέπω πυρὶ λωβούμενα φλοξὶν ἀγρίαις κατέκαιον καὶ τὸ πάντων οἰκτρότερον, οἴμοι, καὶ ἀνθρώπους ἀριθμὸν ὑπερβαίνοντας....» σελ. 27-28.

Ἐν τούτοις κακῶς ἔχουσι πᾶσαν ὁ Λιβαδηνὸς τὴν οὐσίαν ἀποβαλὼν ἔγνω τὴν Τραπεζουντίων ὅλως λιπὼν ἀπᾶραι τὸ λοιπὸν ἐντεῦθεν εἰς Βυζάντιον. Ἀλλὰ μὴν εἰς τὸν Κιμμέριον γενόμενος Βόσπορον πάλιν εἰς Τραπεζοῦντα ἄκων κατάγεται βίᾳ νηυσίν, ὡς ἔοικε, Τραπεζουντίαις.

«Ἐπεὶ δὲ καὶ Τραπεζοῦς πάσης ὕλης ἀπήλλακται καὶ βαρβάρων κακώσεως, τῆς περιλειφθείσης πρότερον ἡμῖν οὐσίας ἀπογυμνωθέντες καὶ τῷ κοινῷ πυρπολήματι, ἤγουν τῶν καταλοίπων ἀκρῖσι βεβρωμένων τοῖς βρούχοις, ὅλοι τοῖς τῇδε ἀπᾶραι γεγόναμεν. Ὅθεν καὶ πάλιν τοὺς πρεσβεύσοντας ἔστελλον, τοὺς κρατοῦντας ἱκέτευον, τοὺς ἐν τέλει προὔχοντας ἐδυσώπουν, ἔτι καὶ ὧν ἀδίκως ἐπεπόνθειν ἐμίμνησκον .... Τούτοις κατακαμφθέντων ἐκείνων μόλις αὐτῶν ἀπηλλάγημεν καὶ ἢ ποδῶν τάχους εἴχομεν, ὅλοι κομιδῇ τῆς νεὼς ἐγεγόνειμεν ἅρμα παρὰ λύδιον θέοντες.... Ἀμέλει καὶ ὑπὸ θεῷ σωτῆρι καὶ θεομήτορι τὰ ἱστία πετάσαντες μέσης πορείας εἰχόμεθα καὶ πρὸς τὸν Μαιῶτιν Βόσπορον ἀποπεπλεύκαμεν. Ἑωράκαμεν ἐκεῖσε Ταυροσκύθας ἀρούρας καὶ τοῖς Ὑπερβόρεως ξυνηυλίσθημεν κἀκεῖθεν μέλλουσι τὸν ἀπόπλουν ποιεῖσθαι πρὸς ἔαρος νῆες ῥωμαΐδες ἄρνω ἐπιστᾶσαι αἴτιοι κωλύματος ἡμῖν ἀνεφάνησαν.... Αἱ τοίνυν τριήρεις αἱ εἰρημέναι καταλαβοῦσαι τὸν χῶρον, οἷ παρῳκοῦμεν, ξυλλαμβάνουσί τε ἡμᾶς ἤδη καὶ ἄκοντας, εἰρήσεται γὰρ τἀληθές, καὶ τὴν Τραπεζουντίων τάχει καταλαμβάνουσιν.» σελ. 30.

Οὕτω δὲ αὖθις εἰς Τραπεζοῦντα γενόμενος ἑτέρῳ τῳ δεινῷ περιπίπτει τῶν συνήθων, ὥς φησι, στάσει δῆλα δή τινι, ὡς ἂν τις ἐκ τῶν λεγομένων οὐκ ἀπιθάνως εἰκάσειεν, ὃ καὶ γραφῇ παραδοῦναι ἀπέσχετο.

«Ἄλλο δὲ τοῦτο μύσος ἄρα φονικὸν τοῖς ἐν τέλει γέγονεν ἔμφυλον καὶ ἀῤῥητουργίας ἔργα τοῖς ἀσεβοῦσιν ἀπόπτυστα, διὸ καὶ καθέκαστα γράφειν οὐ δύναμαι.»

Ἐν δὲ βραχεῖ τὸν Λιβαδηνὸν ἐν νόσῳ κάμνοντα οἴκοι ἐπισκέψατο ὁ μητροπολίτης Ἀκάκιος· (σελ. 31.). Μόγις δὲ τῆς νόσου ῥαΐσας τῆς ἀπολειφθείσης οὐσίας αὖθις στερίσκεται γενομένης στάσεως.

Μετὰ δὲ ταῦτα οὔπω ἐνιαυτῷ περιιόντι Ἀλέξιος ὁ Γ' ἀγγέλεται ὁ Βασιλείου εἰς Τραπεζοῦντα ἐκ Βυζαντίου νηυσὶ καταγόμενος τὸν πατρῷον ἀναληψόμενος κλῆρον.



«Οὔπω δ' ἐνιαυτὸς ἐξηνύετο πᾶς καὶ καινῆτις ἄρα ῥωμαΐθεν ἀγγελία τῷ τῇδε τηνικαῦτα κρατοῦντι καὶ τοῖς ἀμφ' αὐτὸν ἐπεισέφρησεν. Ὅπως δ' οὖν, αὐτὸς ἑκὼν μὲν ἤδη παρίημι, τοῖς δέ γε εἰδόσι καὶ μάλα καινότατον. Ἐφέστηκε δ' ὅμως ἄναξ ἐν ἀκαρεῖ σὺν μητρὶ βασιλίδι μέγας Κομνηνὸς Ἀλέξιος ἔτι νεώτατος, ἄνθος οἷον πρὸ ἰούλου καὶ ἥβης τερπνότατον καὶ πάσης κακίας ἄγευστον, ἔκτος μὲν ἐξ Ἀλεξίου τοῦ πρώτου τῇδε κρατήσαντος, υἱωνὸς δ' Ἀλεξίου δευτέρου δὲ ὁμωνύμου ἐκείνῳ, τετάρτου δὲ κατὰ γένος, ἀνδρός τε γενναίου καὶ μεγαφυοῦς ἀριδήλου, Βασιλείου δὲ παῖς Κομνηνοῦ τοῦ ἀειμνήστου καὶ πάνυ. Ἀλλ' οὗτος μὲν ἐξελθὼν τῆς βασιλίδος τῶν πόλεων διήει παρ' ἠϊόνας τοῦ κόλπου Εὐξείνου καὶ ψαμάθους ἐλλιμενιζόμενος διήρει τινὶ καὶ προσορμίζων ταῖς παραθαλαττιδίοις πόλεσι καὶ τυγχάνων πρεπούσης δοχῆς τε καὶ δεξιώσεως μάλα βασιλικῆς. Ἧκε δὲ μετὰ Σινώπην εἰς Ἀμινσὸν κἀκεῖθεν εἰς Κερασοῦντα καὶ παραβάλλει Τριπόλεσιν, οἳ καὶ ὑπὸ πᾶσιν ἀναγορεύεται μάλα καλῶς.... Ἀμέλει καὶ τῇ τῶν Τραπεζουντίων εἰσβάλλουσι κράτιστα καθῃρηκότων γε πρὶν τὸν πάλαι ἀνάσσοντα [Μιχαήλ]·» σελ. 33-34

Τούτοις οὑτωσὶ εἰς τὸν ἕτερον ἥκομεν ὅρον, τήν φημι εἰς Τραπεζοῦντα τοῦ Ἀλεξίου κάθοδον καὶ τὴν εἰς τὸν πατρῷον θρόνον τῶν Κομνηνῶν ἀνάβασιν. Ὁρῶμεν τοιγαροῦν ἀμφότερα ἀντιπαραβάλλοντες ἐν τοῖς καιρίοις ξυμβάλλοντα, τῇ ἐμφυλίῳ μάχῃ ἐν τῇ μονῇ Εὐγενίου(1), ᾗ οἱ τἀναντία τοῖς βασιλεῦσι φρονοῦντες ὀχυρωσάμενοι καὶ ἡττηθέντες ἀπεσφάγησαν, ὥς φησι Λιβαδηνὸς παραγράφων ἐν τῷ πίνακι· «Ἐμφυλίου μάχης ἀρχὴ καὶ ἡ ἐν τῇ μονῇ τοῦ μάρτυρος Εὐγενίου κατὰ τῶν ὁμοφύλων ἐκστράτευσις καὶ ἧττα τούτων καὶ σφαγή.» (σελ. ζ').

Ἀλλ' ἔστιν ᾗ καὶ διαφέρουσιν· Λιβαδηνὸς μὲν γὰρ τοὺς

(1) Αὕτη εἰς ναὸν μεταβέβληται τῶν Τούρκων. Σ. Ἰωαννίδου Ἱστορ. καὶ στατιστικὴ Τραπεζοῦντ. σελ 236.

SISMANOGLIO MEGARO

οὐ πολλῷ ὕστερον τὴν Τραπεζουντίων ἐπιδραμόντας χώραν Πέρσας, Φαλλμεραΰερος δὲ Παναρέτῳ ἑπόμενος Τούρκους ἀποκαλεῖ καὶ Τουρκομάνους. Εἴποι τις ἴσως Λιβαδηνὸν ἀρχαϊκώτερόν πως Πέρσας εἰρηκέναι τοὺς Τούρκους· ἀλλὰ μὴν ᾤκουν ἔτι τὸ τότε καὶ Πέρσαι περὶ τὸν Πόντον, ὡς αὐτός φησι Φαλλμεραΰερος (σελ. 324), ὥστ' ἐν ἀμφιβόλῳ ἔτι κεῖται εἰ Λιβαδηνὸς τἀληθὲς εἴρηκε Πέρσας, ἢ Πανάρετος Τούρκους Ἀμιτιώτας τοὺς ἐπιδραμόντας ὀνομάζων. Εἶτα Λιβαδηνὸς ἅπαξ παραδίδωσιν ἐπιδραμεῖν Πέρσας οὐ δίς, ὥσπερ Φαλλμεραΰερος τῷ Παναρέτῳ κἂν τούτῳ ἑπόμενος (σελ. 192). Καὶ τοῦ πυρὸς δὲ μεμνημένος τῆς πόλεως οὐδέν φησι λοιμοῦ πέρι ἐκ τῶν κατακειμένων προελθόντος πτωμάτων. Οὐ μὴν ἀλλὰ τῇ Ἀλεξίου καθόδῳ καὶ Μιχαὴλ τοῦ πρὸ τούτου τὴν ἀρχὴν κατέχοντος καθαιρέσει ὡσαύτως ξυμβάλουσιν ἀμφότεροι· Λιβαδηνὸς γὰρ ἐν τῷ πίνακι ὧδε παρέγραψεν· «Ἀνάπλους τοῦ Κομνηνοῦ Ἀλεξίου διὰ Εὐξείνου κόλπου εἰς Τραπεζοῦντα καὶ εἰσέλευσις καὶ ἀνάῤῥησις διὰ τοῦ Σχολαρίου τοῦ μεγάλου Δουκὸς καὶ τοῦ κυροῦ Μιχαὴλ τῆδε ἀνάσσοντος καθαίρεσίς τε καὶ κάθειρξις» (σελ. η'). Οὐδὲν μέν τοι οὐδαμῶς περὶ νόσου λοιμώδους ἐπὶ Μιχαὴλ ἄρχοντος τῷ 1347 ἐμπεσούσης, οὐδὲ σεισμῶν καὶ τεράτων παραπλησίων, ἐξ ὧν τὸ Τραπεζοῦντι Ἑλληνικὸν ἄρδην καὶ προθέλυμνα ἠφάνισται, ὡς οἴεται ὁ ὕπαρ ὀνειρώττων καὶ τὴν Ἑλλήνων πανωλεθρίαν πλαττόμενος Φαλλμεραΰερος (σελ. 189).

Ταῦτα παραθέμενοι καὶ τὰ τούτοις ἐφεξῆς ἐχόμενα παραβάλωμεν, τὰ μετὰ τὴν Ἀλεξίου ἀνάβασιν ἐν ἔτεσι 1350-1356 γενόμενα (Φαλλμερ. σελ. 194-195).

Οὐ πολλῷ ὕστερον δεινόν τι αὖθις ἐπισκῆψαι Λιβαδηνός φησιν.

«Ἀμέλει καὶ τῇ Τραπεζουντίων εἰσβάλλουσιν [οἱ περὶ τὸν Ἀλέξιον] κράτιστα καθῃρηκότων γε πρὶν τὸν πάλαι ἀνάσσοντα (Μιχαὴλ ἔ. ἀ.). Ἐγκαινίζεται πάλιν δ' ἀνάκτορα. Φθορὰ
δέ τις μετὰ καιρὸν οὐ βραχὺν τῶν ἐν τῇ πόλει πάλιν τισὶ τοῖς
ἐν τέλει δεινὴ παρεφύετο, ἡμᾶς τ' ἐπὶ τὸν τῶν δικολόγων θρό-
νον ἀνακτορόθεν αὖθις καθίζειν αὐτοὶ ἐκβιάζουσι καὶ πάντα
τῇ πόλει καὶ ἡμῖν κατὰ ῥοῦν εὐθέως εἶχε τὰ πράγματα· ἀλλ'
οὐκ ἦν ἀνεκτὰ ταυτὶ καὶ τῷ βασκάνῳ· ἔρις γὰρ πάλιν καὶ
φθόνος μέσοις τοῖς ἐμοῖς παρεισδὺς ἀτοπίαν εἰργάζετο. Ἐν-
τεῦθεν καὶ ἀστατοῦσα τοῖς ἑταίροις δεινή τις φορὰ πελάζειν ἠ-
πείγετο, ἐφ' ᾧ καὶ τὸ μεταστῆναι λάθρα τῆδε ξυνείπετο.» σ. 34

Ὕστερον εἰς Κερασοῦντα Λιβαδηνὸς πορεύεται Κυρίλλου τοῦ τότε τὴν ἐκκλησίαν Κερασουντίων ἰθύνοντος μεταπεμψαμένου. Βραχεῖαν δὲ τῆς πόλεως ταύτης ποιησάμενος ἔκφρασιν ἄρτι τῶν βαρβάρων ἀπαλλαγείσης φησὶ προϊών·

«Τούτων τοίνυν οὑτωσὶ πραττομένων ἀγγελία τις ἧκέ μοι
καὶ γράμματα καλοῦμενά με τὴν Κερασουντίων τάχει πόλιν
καταλαβέσθαι θεωρίας χάριν ἅμα καὶ ὁμιλίας, εἶτα καὶ πα-
λινοστῆσαι διὰ ταχέος ὑπαγορεύοντα. Ταῦτα δὲ ἄρα τῷ Κε-
ρασουντίων ἐτύγχανεν ἀρχιερεῖ γεγραμμένα τοῖς τῶν ἑταίρων
βουλήμασι· τῇ δε γὰρ ἀπεληλύθεσαν, ὡς ἀνωτέρω προείρηται..
Οὕτω τὴν Κερασουντίων εἰσαφίγμεθα πόλιν. Ἄστυ τοιγαροῦν
ἑωράκαμεν τὴν Κερασουντίων μητρόπολιν τείχεσι χαλκοῖς
ὠχυρωμένην, ὡς ὁ λόγος, παντάπασι καὶ εὐρύτατον καὶ θαλάτ-
ταις ἠγκαλισμένον. . . . Ἔνδον τοίνυν γενόμενοι τῷ τῆδε ἀρ-
χιερεῖ προσανείμεθα ἡδέως μάλα πρὸς αὐτοῦ τὰς ὁμιλίας
ποιούμενοι. Κύριλλος δ' ἦν ὁ τῆς πόλεως πρόεδρος ἀπλάστῳ
ἤθει δηλονότι καὶ βίῳ βιούμενος.» σελ. 35-36

Πάλιν δὲ στάσις ἐν Κερασοῦντι ἐγγίγνεται, ὁ δ' Ἀλέξιος νηυσὶν ἐπὶ ταύτην ἔπεισιν, οὗ μάχη ἔνδον τῆς πόλεως καὶ πρὸ τῶν τειχῶν γίγνεται·

«Τί τὸ ἐν μέσοις; γραφαὶ τοῖς κρατοῦσι καὶ πρέσβεις πρὸς
τὴν ἑταιρείαν συχνοὶ ἀφικνοῦνται, ἵν' ἐκεῖθεν τὴν Τραπεζουν-
τίων τάχος αὐτοὶ καταλάβωμεν. Τῶν δὲ ἀναβαλλομένων τὴν ἄ-



SISMANOGLIO MEGARO

φιξιν ἐνδίκοις λόγοις, οἷς ἔφασκον, ἀσφαλοῦς ζωῆς εἵνεκα, θυμὸς τοὺς κρατοῦντας εἰσῄει μάλα θερμὸς καὶ οὐκ ἄκαιρος· ἤδη γὰρ ἀνῆπται οὑτοσὶ καὶ ὑπό τισι τῶν ἐργώντων ἀπᾴδουσιν· ὕλη γὰρ εἰς πυρσὸν μάλα τῷ πυρὶ διαέριον πρόσφορος. Ὅθεν ἐφ' ὅπλα καὶ νῆας ἐφώρμησαν καὶ τῇ Κερασουντίων μάλα προσβάλλουσι τριήρεσί τε καὶ ἀκατίοις ἅμα καὶ δρόμωσι τοῖς πᾶσι βασιλικοῖς· τὰ δ' ἑξῆς πῶς ἄρ' ἂν διαγράψαιμι μέσος καὶ αὐτὸς παρεισδὺς εὐθυνῶν ὁ ἀνεύθυνος; Ὅμως μὲν οὖν τοῖν μεροῖν ἀμφοτέρωθεν διεστώτοιν ἀκροβολισμὸς καὶ φύλοπις ἦν ἐνηχοῦσα τὸ ἐνυάλιον. Ἕστηκε δέ γε ἡ πόλις πᾶσα παραθαλάττιος τῇ ναυμαχίᾳ δηλονότι ἀντίῤῥοπος. Ἤδη δὲ καὶ ξύμμαχοι μοσθοφόροι τοῖς κρατοῦσιν ἥκασιν ἱππεῖς ἅμα πεζοῖς ἐξ ἠπείρου τῆς γείτονος βάρβαροι, λάθρα δὲ τοῦτο ἦν πεπραγμένον τισὶν ὑπὸ βαθέσι τοῖς σκαιωρήμασιν, ὃ καὶ μᾶλλον δειλίαν τινὰ ἐνῆκε τῇ πόλει· ἔτι γὰρ ἐντεῦθεν ἐκ γῆς καὶ θαλάσσης προσεδοκᾶτο τὸ μάχιμον. Τί οὖν ἔτι; στάσις τις ἦν τοῖς ἐν ἄστει καὶ τὸ δρᾶμα δεινὸν μεν καὶ δυσάντητον, ἤδη δὲ καὶ σαφὲς τοῖς περὶ ἡμᾶς ἀνεφαίνετο καὶ τὰ τῶν πραγμάτων δῆλα τῶν φαινομένων καθίστα. Ἔνιοι τούτων γὰρ ἦσαν ὡς φάναι δαήμονες· διὸ καὶ στάσις τις ἦν τῶν ἐν ἄστει καὶ τοῦ δήμου βόμβος μάλα πολὺς οἷα μᾶλλον φιλεῖ γίγνεσθαι μέσῳ αὐτοῖς παρατάξεως, ὅτ' ἂν τῶν συμφώνων καινοτομηθῇ τι ἄφνω τοῖς προτέροις οὐχ ὅμοιον, ὡς καὶ Εὐριπίδῃ οὕτω δοκεῖ.. . . . Βουλὴ δέ τις κρατεῖ τῶν ἄλλων μάλα τῆς καθ' ἡμᾶς κρείττων ὡς τῇ ἀκροπόλει ἔτι προσπεφευγέναι στεῤῥῶς ἐχούσῃ πάντοθεν κατ' ὀχύρωσιν· προκεχύρωται γὰρ τῷ δουκὶ ἀσφαλῶς καὶ χρειωδῶν ἐνεπέπληστο.» σελ. 36-37

Μόγις Κερασοῦντος ὁ Λιβαδηνὸς ἀπαλλαγεὶς σπουδῇ εἰς Κεγχρεοὺς κατάγεται, ᾗ αὖθις μαχεσάμενοι οἱ πολέμιοι ἀλλήλοις διηλλάγησαν·

«Οὕτω τοίνυν τῇ ἀκροπόλει γενόμενοι καὶ λόγους παρ' οἰκητόρων σαφεῖς δεδεγμένοι τῶν κρατούντων ἔνδον ἤδη γεγενημένων τοῦ ἄστεως, ὡς εἰ ἔξω τε γεγενήμεθα, ἀλλαχῇ τὴν πορείαν ποιήσαντες σωτηρίαν ἑαυτοῖς μᾶλλον περιποιησαίμεθα, τοῖς λόγοις τούτων ἐπενενεύκαμεν καὶ δίοδον διὰ πορείας ἐξῃτήσαμεν καταλαβέσθαι τὸ ἔρυμα, οἷ καὶ ὁ μέγας, ὡς εἴρηται, δοὺξ ἐτύγχανε τηνικαῦτα πείρας ἄτερ τινοσοῦν καὶ ὀχλήσεως. Μόλις δὲ γενομένου εἷς ἀπελύθη δρόμων τῶν βασιλικῶν ἀπάξων ἡμᾶς ἐκεῖθεν πάρὰ τὸ ἔρυμα καὶ ἁπάντων μέντοι τῶν ἀμφὶ τὸν δοῦκα ξὺν αὐτῷ καταίρειν ἐς αἰγιαλοὺς, ἐν οἷς ὁ δρόμων παρὰ τὴν Κόκαριν ἣν οὑτωσὶ καλουμένην τὸ ἐνδόσιμον ἤδη λελαχηκότων, μόνως μόνον αὐτόν με, ὢ βία καὶ δίκη, οἱ περὶ τοὺς κρατοῦντας οὐκ ἐπένευον. Καὶ ἦν ἰδεῖν νὴ τοὺς λόγους, ὦ φίλτατοι, ἀνάγκην φύσεως τηνικαῦτα καὶ λίαν σφοδρὰν μικροῦ καὶ λόγον ὑπερβαίνουσαν ἅπαντα· ὑπῄδετο γάρ τοι καὶ λίαν κατὰ τῆς ἡμετέρας πονηρὰ πρὸς κακῶν σωτηρίας. Ταῦτα τοίνυν ἀκούσας τε καὶ μαθὼν ὡς μέσος κακῶν τοσούτων μόνος ἐγὼ στενά μοι πάντοθεν θαμειῶς ἔλεγον. . . . Ἀμέλει καὶ τούτοις καὶ τοιούτοις ὅλοις ὅλος ὀλοφυρόμενος ἀκήκοά τινος τῶν ἐξορμώντων ὡς ἐς ἑαυτὸν ἐκκαλοῦντός με καί γε πλησιάσαντι τὸ αἴτιον φράζει μοι καὶ κεῖσθαι οὕτως ἀπόῤῥητον ἔφασκε· τὸ δ' ἦν ἄρα ὡς ὅπλοις ἐνυπερπεφραγμένον ἤδη με γεγονότα ξυναπᾶραι τούτοις εἰς θάλατταν καὶ σφίσιν ἅμα ξυμπλεύσασθαι. . . Εἶτα θάρσει μάλα πλησθεὶς καὶ δυνάμεως ῥσθηθεὶς οὐκ ὀλίγης τὴν ἠϊόνα κατέλαβον καὶ τὸν δρόμωνα πελάγιον ἤδη γενόμενον καταρᾶι πάλιν πεποίηκα καὶ ἔνδον τοῦδε γενόμενος ἀνεθάρσησα νὴ τὸν ἀληθῆ φιλίας ἔρον, ὦ φίλτατοι, καὶ θαλαττίοις ἐῤῥύμην ὕδασι καὶ ἀνέψυξα. Καθόλου δὲ νύκτωρ ἐκεῖθεν, νυκτὸς γὰρ ἤδη πεπλεύκαμεν, ταῖς ἀκταῖς τοῦ φρουρίου γεγόναμεν, ἕωθεν δε τῶν τοῦ φρουρίου κατάφρακτοι παραγενόμενοί τινες ὡς ἡμᾶς ἀναλαβόμενοί τε τὴν πολίχνην θαῤῥινκῶς ἀνεβίβασαν. Εἴσω τοίνυν τοῦ ἐρύματος μόλις ἤδη γενόμενοι τῷ σωτῆρι χαριστήρια θεῷ κατεθύομεν καὶ τῇ θεομήτορι. . . . . Ἀμέλει καὶ οὕτως ἡμῶν ἐχομένων ναυσίπλοοι πάλιν καθ' ἡμῶν οἱ κρατοῦντες τριήρεσί τε καὶ λέμβοις καὶ ἀκατίοις καὶ δρόμωσιν ὑπέρ γε τὰ εἴκοσι καὶ στρατείαν οὐκ ὀλίγην ἅμα ξυναγηοχότες ἐπίσημον, ἱππικήν τε καὶ πεζικὴν ἔκ τε θαλάσσης καὶ ἠπειρόθεν ταῖς τῆς πολίχνης ταύτης ἠϊόσι προσβάλουσιν· ἔχεται γὰρ οὐχ ἥκιστα καὶ ἠϊόνων καὶ ὁρ-



SISMANOGLIO MEGARO

μων τὸ ἔρυμα, εἰ καί τισι μέτροις διϊσταμένοις· Κεγχρεὼν τουτὶ κατωνόμαστο. Ἵστανται τοίνυν κατέναντι τοῦ κέρως τοῦ ἄστεος, τὰ δ' ἐν μέσῳ τούτοις παρίημι. . . Τότε γαρ τότ' ἐτολμήθη τὰ πάνδεινα καὶ ἀμφῖν τοῖν μεροῖν· ἀκροβολισμοί τε γὰρ ἦσαν τὰ πρῶτα ἐμφύλιοι καὶ οἰστῶν, ὢ βία, τρώσεις ἀλλήλοις ἠφίεντο· καὶ τίς ἀδακρυτὶ παρέλθοι τῇ μνήμῃ τῷ νῷ βαλλόμενος; Ταῦτα καὶ τὰ τοιαῦτα ὑπ' ἐμοῖς ὁρῶν ὄμμασι δακρύων ὅλος ὅλωςγεγένημαι. . . . Ἐπεὶ δέ μοι τέλος τὴν εὐχὴν διεδέχετο καὶ πρὸς δύσιν ἐπικλίνειν ὁ Φαέθων ἠπείγετο, σπονδή τις καὶ ἀμφοῖν ἐτελεῖτο χρηστή. . . . καὶ ἅμα ἑσπερίῳ γε δύσει αἵ τε τριήρεις καὶ ἡ λοιπὴ ναυμαχία καὶ ἡ ἄλλη στρατεία οἴκαδε ἀνεχώρησε καὶ μετάμελος οὐ πάνυ τι μέτριος αὐτούς τ' ἐκείνους καὶ τοὺς ξὺν ἡμῖν εἶχεν ἄρα διὰ τὸ μύσος τὸ ἔμφυλον. Ἀμέλει δὴ καὶ τοῦ Θὼθ οὑτωσὶ παριππεύσαντος, ᾧ γοῦν καὶ ταῦτ' ἐξεπράχθη, σκοπός τις φοιτᾷ τοῖς ἑταίροις ὄντως θεοφιλὴς ὡς λῦσαί γε πάντα τὰ μεταξὺ καί γε τοῖς ἄναξι προσελθεῖν καὶ ἵλεως τούτους ποιήσασθαι. Τοῦτο δὲ καὶ βουλῇ βεβουλεύμεθα ὅτι χρηστῇ· ἤδη γὰρ καὶ αὐτὸς νὴ τοὺς λόγους καὶ τὸν φίλιον ἔρον, ὦ βέλτιστοι, μάλα τῇδε ξυντέθειμαι, ἐῤῥέτω φθόνος καὶ δέος ἅπαν πόῤῥω βαλλέσθω μοι. Διαπρεσβεύεται τοῦτο τοίνυν διὰ γραμμάτων τοῖς ἄναξι, φθάνουσι δὲ παραχρῆμα κἀκεῖθεν ἡμῖν τῶν ἐν τέλει τινὲς προὔχοντες σπονδὰς ζητοῦντες καὶ συνδιαλλαγὰς εἰρηναίας πάντα τε ὑπισχνούμενοι καὶ ἐπαγγελλόμενοι τὰ χρηστά, ἐφ' οἷς καὶ δι' ὅρκων ἔμπεδα γράμματα ἡμῖν μὲν φέροντες ἐπεδίδουν, ἐχεγγύους τούτων ἀῤῥαγεῖς δὲ καὶ Ἰταλῶν ἐτίθουν τοὺς προὔχοντας.» σελ.38. 42. 54-46

Οὕτω τῷ λόγῳ πέρας ὁ Λιβαδηνὸς ἐπιτίθησιν ἐν πᾶσιν ὡς εἰπεῖν Παναρέτῳ τε καὶ Φαλλμεραϋέρῳ ξυνάδων, τῷ ἀνάπλῳ Ἀλεξίου, ὃς τὴν στάσιν τῶν ἐν τέλει καταβαλὼν εἷλε Κερασοῦντα ἀποστᾶσαν καὶ Κεγχρεοὺς διαλλαγὰς εἰρηναίας ποιησάμενος. (Λιβαδ. ἔ. ά. Φαλλμ. σελ. 195).

Ὁδοῦ δὲ πάρεργον ἄγε καί τινα προσθῶμεν ἐκ τοῦ Λιβαδηνοῦ τέως ἄγνωστα καὶ τὴν Τραπεζουντίων καὶ Κερασουντίων ἐκκλησίαν βλέποντα. Φαλλμεραΰερος μὲν Νήφωνά φησι μητροπολίτην Τραπεζοῦντος τῷ 1364 καθαιρεθῆναι κρύφα τῷ Ἀλεξίῳ διαπραττόμενον, ἐν δὲ τῇ μονῇ Σουμελᾶ καθειρχθέντα μετ' ἐνιαυτὸν τὸν βίον καταστρέψαι, πρὸ δὲ τούτου τὴν Τραπεζουντίων ἐκκλησίαν Βαρνάβας ἴθυναν καὶ Ἀκάκιος, ὃς στασιάζων φαίνεται τῷ 1341 καὶ ὕστερον (σελ. 342). Λιβαδηνὸς δὲ μετὰ Βαρνάβαν Γρηγόριον τίθησι τῆς ἐν Τραπεζοῦντι ἐκκλησίας προϊστάμενον καὶ νῦν τὸ πρῶτον γνωριζόμενον· σελ. 23. Μετὰ δὲ Γρηγόριον τὸν Ἀκάκιον· σελ. 31. Καὶ Κερασοῦντος δ' ἐπίσκοπον τὸ τότε νῦν πρῶτον ὡσαύτως γνωρίζομεν τὸν Κύριλλον (σελ. 36) καὶ Λεκυΐνῳ αὐτῷ ἐπιμελέστατα τῶν τῆς Ἀνατολῆς ἐκκλησιῶν πέρι γράψαντι ἄγνωστον. (*Le Quien, Oriens Christianus Tom. 1, p. 516*).

Ταῦτα παρὰ Λιβαδηνῷ τὰ καιριώτατα ἱκανόν, οἶμαι, οὐ μόνον εἰς τὴν Τραπεζοῦντος ἱστορίαν ξυμβάλλοντα, ἀλλὰ καὶ τὸν ἄνδρα πάντη τέως τοῖς σοφοῖς ἄγνωστον ἤδη γνώριμον καταστῆσαι δυνάμενα (1).

Ἐν Χαλκηδόνι Νοεμβρίου φθίνοντος 1874.

**Μ. ΠΑΡΑΝΙΚΑΣ.**

1) Ὅρα καὶ τὰ γερμανιστί μοι γεγραμμένα ἐν Beiträge zur byzantinischen Litteratur von Dr. M. C. Paranicas σελ. 23-42· ἐφ' οἷς τάδε μοι Κάρολος ὁ Χόπφιος ἐπέστειλεν, ἀνὴρ τοῖς Βυζαντινοῖς ἄλλως ἐντριβέστατος, ἐν Λειψίᾳ τότε ὄντι.

*Koenigsberg, 27 Novenber 1870.*

*Verehrtester Herr Doctor!*

*Schon im vorigen Jahre, als Sie die Freundlichkeit hatten, mir Ihr so interessantes Σχεδίασμα von München aus zu übersenden, haette ich gern Ihnen mit zwei Zeilen meinen herzlichsten Dank ausgesprochen; allein es unterblieb, da ich Ihre naehere Adresse nicht wusste. Da ich aber aus Ichrer jungsten Zusendung sehe, dass Sie jetzt in Leipzig sind, will ich nicht laenger saeumen, sondern Ihnen zunaechst für beide Arbeiten aufrichtigst danken. Ich habe das Σχεδίασμα gleich wie ich es erhielt, mit lebhaftesten Interesse durchstudiert und gar viel daraus gelernt; denn war ich auch im Stande selbst manche der von Ihnen benützten griechischen Werke früher kennen zu lernen, so fand ich darin doch so viel Neues, was mir bisher ganz unzugaenglich geblieben ward. Ein Buch speciell, das Sie œfters erwaehnen, Κουτλουμουσιανοῦ ὑπόμνημα περὶ τῆς ἐν Χάλκῃ μονῆς, habe ich schon lang vergeblich zu Gesichte zu bekommen mich bemüht; sollte Ihnen dasselbe in Leipzig zur Hand sein, so würden Sie mich sechr erfreuen, wenn Sie es mir auf eine Woche hierhin mittheilen wollten; es muss einige Data über Fanarioten-Geschichte enthalten, die ich gar zu gern einmal vergleichen mœchte. Ihre «Beitraege» habe ich bis jetzt freilich nur durchfliegen koennen, da ich mit Dienstgeschaeften sehr überladen bin; doch hat namentlich der über den Libadenus für mich ganz besonders Interesse.*

*WSchade das ich in Kœnigsberg so ganz ausserhalb der elt lebe, selten Gelehrte von auswaerts hier sehe, und*



*eine Reise ins innere Deutschland gerade von hier aus mit so vielen Umstaenden verknüpft ist; sonst dürfte ich hoffen Sie mich einmal persœnlich bergrüssen nnd Ihnen mündlich danken zu kœnnen. Im naechsten Jahre wird wohl endlich wieder einmal eine Arbeit von mir, Sammlung mittelalterlich-griech. Quellen erscheinen; 17 Bogen sind davon gedruckt; doch schreitet die Arbeit nur langsam vor, da ich ihr nur gelegentlich einen Augenblick freie Zeit widmen kann.*

*Mit der Bitte, aus derselben Rücksicht mein flüchtiges Schreiben zu entschuldigen, empfiehlt sich Ihnen bestens*

*Ihr*

CARL HOPF.

*Herrn D^r^.* M. PARANIKAS

*Leipzig*

*Georcen-Strasse № 16.*

Ἡ σφραγὶς τῆς ἐπιστολῆς ἔχει ἐν μέσῳ τὸν Ἰησοῦν ἐν νεφέλαις, κάτωθεν τὸν πρωσσικὸν ἀετόν, κύκλῳ δὲ τὴν ἐπιγραφὴν Sigill. Facult. Philosoph. Academ. Regimont.· ἦν γὰρ ὁ πολύκλαυστος ἤδη Χόπφιος τὸ τότε τῆς φιλοσοφικῆς σχολῆς τοῦ ἐν Κοινιγσβέργῃ πανεπιστημίου κοσμήτωρ.

## ΠΕΡΙΗΓΗΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

## ΑΝΑΒΑΣΕΩΣ

# ΑΝΔΡΕΟΥ ΤΟΥ ΛΙΒΑΔΗΝΟΥ.

SISMANOGLIO MEGARO

Λόγος εὐχαριστήριος σὺν ὕμνῳ τινὶ μετέχων ἅμα καὶ τῆς βρεφικῆς ἐμαυτῷ περιόδου καὶ πλάνης καὶ περιηγήσεως τοπικαῖς ἱστορίαις, ἅμα τε καὶ ὁπόσων καὶ οἵων καὶ ἡλίκων ἀγαθῶν παραπέλαυσα πρὸς Χριστοῦ Ἰησοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν καὶ σωτῆρος ἀληθῶς καὶ εὐεργέτου τῇ τῆς πανάγνου καὶ ὑπεράγνου μητρὸς αὐτοῦ καὶ δεσποίνης ἡμῶν ἀντιλήψει καὶ μεσιτείᾳ προσχδόμενος αὐτῷ τῇ σωτῆρι καὶ τῇ προμάχῳ κυρίᾳ καὶ ἀειπαρθένῳ Μαριάμ, τῇ κοσμοποθήτῳ καὶ παντευλογήτῳ, ἐξιτήριος ἅμα δηλονότι καὶ εἰσιτήριος ἡμῖν ἤδη γεγονὼς αὔθωρόν, ὅτε καὶ τοῦ χαλεποῦ χειμῶνος λωφῆσαι δόξαντος τῶν σάλων ἐῤῥύσθημεν καὶ τοῖς ἰδίοις γεγόναμεν καταστρατοπεδευσάσης τοῦ στρατηγοῦ τῶν δεινῶν, ἀληθῶς ὑπερμάχου τῆς οὐθενείας ἡμῶν.

Ἡ ἐμὴ μὲν οὐθένεια, ὦ πατρὸς θεοῦ μονογενὲς παῖ, συνάναρχε λόγε καὶ συναΐδιε, χρόνῳ τ' ἐπ' ἐσχάτῳ πατρικῇ εὐδοκίᾳ καὶ ἀφάτῳ φιλανθρωπίᾳ, συγκαταβάσει ἀβύσσου εὐσπλαχνίας σου, μονογενές τε καὶ παρθένου υἱέ, ὦ νήπιε, χρόνιε καὶ λόγε παλαιὲ καὶ ὑπερχρόνιε, γλυκύτατε κτίστα καὶ δέσποτα, πολλῶν πολλάκις καιρῶν εὐκαίρων δραττομένη προσφόρως ὥρμα μὲν καὶ οἷον ἐσφάδαζε πόθοις ἀσχέτοις, ῥώμης ἅτε τινὸς ἄποθεν αἰσθομένη ἀπείρου, τῶν ἀπειράκις ἀπείρως παρὰ τῆς σῆς ἀγαθότητος γεγενημένην ἡμῖν ἄνωθεν εὐσπλαχνίαν λόγοις ἐνίοις, καὶ εἰ ἐξιτήλοις (1), κατ' ἐφικτὸν (2) ἀνυμνῆσαι καὶ γεραρῆσαι καὶ οἷον ὡς ἐξ ἀμυδροῦ τινος νοῦ δώροις πενιχροῖς ἀποτῖσαι, ἐπεί περ ἀνίεμεν τὸ εὔσπλαγχνον τῶν ἀφάτων οἰκτιρμῶν σου τὸ κατὰ δύναμιν παρὰ δούλοις ἐθέλειν ὁμοῦ καὶ προσίεσθαι σοὶ προσαγόμενον οὐχ ἥκιστα τῶν ἐξαισίων ἁπάντων ἐς ὕμνους λόγον τὸν τῷ καιρῷ προσφορώτατον. Καὶ τοῦτο δὲ ἅμα τῆς ἀβύσσου τῶν ἀπείρων οἰκτιρμῶν σου, παντάναξ, συνερχομένων ἀεὶ ταῖς ἡμετέραις οὐθενείας καὶ ἀσθενείαις ὡς τῇ χρηστῇ συγκαταβάσει συνήθως χρωμένων καὶ ὑποπιπτόντων, πανύψιστε· ἔργοις γὰρ οὔ τοι οὐδ' ἂν τῆς τῶν ἀΰλων θείας δυνάμεώς τις ταξίαρχος κατ' ἀξίαν δυνήσαιτό ποτε.

Ἀλλ' ὥρμα μὲν οὖν, ὡς προέφην, ἡ ἐμὴ οὐθένεια τῶν ἀπείρων ἀπειράκις ἀπείρως παρὰ τῆς σῆς ἀγαθότητος χρηστῶν ἀπολαύουσα εὐχαριστηρίοις ἀνευφημῆσαι τὴν ἀπειροδύναμον λόγοις φιλανθρωπίαν σου ῥυομένην ἀπειράκις ἀπείρως με θανατηφόρων ἀπείρων ὀλέθρων ἐπιστιβαζομένων ταῖς ἀνομίαις μου. Ἀνέπειθε δὲ καὶ τῆς πρόσω φορᾶς ἀνεχαίτιζεν ἥ τε χρονίως ξυνέχουσα λόγου ταύτην ἀδράνεια, εἰρήσεται γὰρ τ' ἀληθῆ, καὶ ἡ τοιούτων ἁδρά τις ἀπειροκαλία καὶ τὸ μηδ' ἀξίως εὖ ἔχειν πρὸς τοσόνδε βάθος ὕψους λόγοις ἐπαποδύεσθαι. Οὐ πάνυ γάρ τι βραχύ με καὶ τὸ ἀνίπτοις οὕτω χερσὶ τὸ τοῦ λόγου λόγων τοιῶνδ' ἐπιψαύειν ἡνία καὶ δυσφορεῖν ἐποίει. Ὅθεν οὐχ ἥκιστα καὶ σιγᾷν τὸ πλέον ἐπῄει· νοὸς γάρ τοι ναρκῶντος ἀμηχανία καὶ λόγου σιωπὴ προσκορής. Ἀλλ' ἡμῶν μὲν

(1) Τούτου ἐπιγέγραπται «ἀσθενέσι» χειρὶ τῇ αὐτῇ τοῦ γράψαντος.
(2) Ἄνωθεν ὡσαύτως «κατὰ τὸ δυνατὸν» τέθειται.



ἡ οὐδένεια τοιαύτη, ὦ δέσποτα, καὶ ναρκώδης καὶ εὐτελὴς καὶ ἀσθενὴς καὶ οἰκτρὰ καὶ μάλα πάντων ἐπιδεής, ἡ σὴ δ' ἄρ' ἄῤῥητός τε καὶ ἄπειρος τῆς εὐσπλαγχνίας ἀγαθότης, ὑπεράγαθε κύριε, οὐχ οὕτως, οὐδ' ὡσαύτως ἁμαρτάνοντας ἡμᾶς καὶ ἀσθενοῦντας καὶ ἐλεεινόν τι πάσχοντας καὶ κινδυνεύοντας καὶ ἀνιωμένους ἐπί τι καὶ ἀδημονοῦντας καὶ πρὸς ἔσχατον ἀγομένους καὶ ἔτι παροργίζοντάς σου τὴν ἐπιείκειαν, οὐ μέλλει, οὐδ' ἀναδύεται τὸν ἔλεον, οὐδ' ἀπωθεῖται, οὐδ' ἀναβάλλεται τὸ φιλάνθρωπον, οὐχ ὑπερτίθεται τῆς σωτηρίας τὰ φάρμακα. Ἀλλ' οἷά τις φιλόπαις πατὴρ καὶ φιλόστοργος ὁ φιλάνθρωπος καὶ μάλα κατανύττῃ μὲν τῇ ἰδίᾳ εὐθέως χρηστότητι τὰ φιλάνθρωπα σπλάγχνα, καὶ οἰκτείρει καὶ κήδῃ τῆς συμφορᾶς γε τοῦ πλάσματος καὶ οὖς ὑποκλίνεις τοῖς πάσχουσι καὶ εἰσακούεις φωνῶν δεήσεως αὐτῶν καὶ ὀδυνωμένοις ἐπικάμπτῃ καὶ ἵλεων ὄμμα παραχρῆμα τούτοις παρέχεις καὶ χεῖρα δίδως καὶ ἀκαρεῖ χαρίζει τὰ βέλτιστα. Καὶ εἰ μετὰ τὴν τοσαύτην φιλανθρωπίαν καὶ τὴν ἄπειρον ἐν ἀκαρεῖ θεραπείαν ἐξ ἔθους πάλιν περιπίπτειν τοῖς πρότερον καὶ ἁμαρτάνειν καὶ παροργίζειν ὀφθείημεν, οὐδ' οὕτως ὑπερτίθῃ, οὐδ' ἀνανεύεις, οὐδὲ περιορᾷς, ἀλλ' ἅμα χρῇ τῇ συνήθει φιλανθρωπίᾳ καὶ χεῖρα βοῶσι χαμαὶ κειμένοις ὀξέως ὑφαπλοῖς τὸ μέγα ἡμῖν ἀκεσώδυνον φάρμακον μονονουχὶ δυσχεραίνων, εἰ μή γε καὶ θάῤῥει μάλα ταχέως πρὸς ἄκος κληθεὶς πρὸς ἡμῶν κακουμένων ὁ σοφὸς ἰατρὸς καὶ φιλάνθρωπος. Εἶτα καὶ ζωογονεῖς τε καὶ θάλπεις καὶ βελτιοῖς τε καὶ αὔξεις καὶ πρὸς τὴν ἀμείνω λῆξιν εἰ ἐφοίμεθα, χειραγωγῆσαι καὶ ἀναβιβάσαι ἡμᾶς ἐπαγγέλῃ τῶν ἀϊδίων ἐκείνων καὶ μακαρίων κοινῇ ἀγαθῶν συνεπαπολαύσοντας. Ὦ τῆς ἀπειράκις ἀπείρως ἡμῖν χεομένης ἀπείρου φιλανθρωπίας τῶν ἀφάτων οἰκτιρμῶν τῆς σῆς ἀγαθότητος! ὢ τῶν ἀφράστων ἀγαθῶν τῶν οἰκτιρμῶν τῆς ἀῤῥήτου χρηστῆς εὐσπλαγχνίας σου! ὢ τῆς ἀῤῥήτου περὶ ἡμᾶς σου κηδεμονίας, φιλάνθρωπε, δι' ἧς ἀπειράκις ἀπείρως τῶν ἀπείρως ἀγαθῶν τυγχάνομεν. Ὦ τίς ἐξιχνιάσοι σου, σῶτερ, τὸν ἔλεον; ὢ τίς ἀξίως ὑμνήσοι τὴν ἀγαθότητα; ὢ τίς δεόντως δοξάσοι σου τὸ φιλάνθρωπον; Ἀνυμνοῦμέν σου τὸ τῆς ἀγαθότητος πέλαγος· εὐφημοῦμέν σου τὴν ἄφατον

εὐσπλαγχνίαν, μακρόθυμε· προσκυνοῦμεν τῶν εὐεργεσιῶν σου τὴν ἄφραστον ἄβυσσον, ἣν οὐκ ἐξικνεῖται πρὸς ὕμνους κατ' ἀξίαν ὑμνῆσαι πᾶσα φύσις ἡ βρότειος, οὐδ' ἂν ἑκάστῳ δέκα γλῶτται τῶν ἀνθρώπων μάλα προσφύσαιντο.

'Αλλ', ὦ φιλάνθρωπε σῶτερ καὶ δέσποτα θεὲ καὶ θεοῦ πατρὸς υἱὲ μονογενὲς καὶ παῖ Μαριὰμ μονογενές, παρθένειε, φίλτατε, ὡς πάλαι τοῦ κορυφαίου τῶν σῶν μαθητῶν τὸ σὺ πάντα οἶδας, κύριε, σὺ πάντα πυθόμενος ἔγνωκας, ὁ καὶ πρὸ γενέσθαι μάλα πάντα εἰδὼς, αὐτὸς ἤδη καὶ πρὸ ἡμῶν τῶν σαφῶς εὐτελῶν καὶ ἀχρείων τοσαῦτα πύθοιο, ὡς καὶ πρὸ γενέσθαι πάντ' ἐγνωκὼς μάλα σαφῶς τὰ ἡμέτερα. 'Αλλ' οἶσθα δή μοι καὶ τὴν ἤτορος αὐτὰρ ἔφεσιν καὶ τὸν κραδίης ἔρον ἐπὶ μᾶλλον ἐπίστασαι, ὡς πάλαι φησί τις, τῶν ἀγαθῶν οἶδας τὸν ἔμψυχον ἔρωτα. 'Αλλ' οἶσθα δ' ἔτι καὶ τὸ ἀσθενὲς καὶ τὸ εὐόλισθον καὶ πρὸς κακίαν ἡμῶν εὐχερές τι καὶ ῥᾴδιον· πάλαι γὰρ ὁ βρεφωθῆναι ἀῤῥήτως παρθενείοις λογόσιν ἀσπόρως εὐδοκῆσαι θελήσας, ἐμὲ δὲ τὸν οἴκτιστον μητρικῇ μου νηδύι μορφώσας καὶ ζωώσας, ὡς οἶδας, εἶτα καὶ εἰς φῶς ἀχθῆναι καὶ τεχθῆναι κελεύσας καὶ εἰς ἄνθρωπον χρηματίσαι οἶδας ἔτι νήπιον ὄντα με, δέσποτα, ὡς ἀώρου ἐῤῥύσω θανάτου βαρείας ὀδύνης ἀπαλλάξας καὶ ὀξυτάτου κινδύνου, ὡς μόνον τῇ μητρί σου παρθένῳ τῷ νεῷ τῆς μητρός σου παρὰ τῆς ἐμῆς ἀθλίας ὑπεῤῥίφην τότε μητρός· ᾗ μὲν καὶ αἱ κόμαι ἀνοικτὶ σπαραττόμεναι ἀνετίλλοντο καὶ φύρδην ἐκείροντο βοτρυδὸν καὶ ἀφειδῖ κατεξαίνοντο παρειαὶ καὶ φοινικῷοις αἵμασιν ἐφοινίσσοντο καὶ στέρνα μάλα σφοδρῶς ἐτύπτετο. 'Εγὼ δὲ ἄωρον ὑπ' ἀχράντοις ὅλον ποσὶ τῆς ἀειπαρθένου μητρὸς ἄθλιον ἀθλίας μητρὸς κύημα ἔπνεον τὰ λοίσθια κείμενον καὶ μάλ' ἀμυδρόν τι σκαῖρον. Οἶδεν οὐχ' ἥκιστα καὶ ἡ σὴ θεομήτωρ ἐπ' ἀγκάλαις ἀνέχουσά σε τὸν τοῦ κόσμου παντὸς ποιητὴν καὶ σωτῆρα καὶ πρύτανιν. Ἡ δὲ καὶ δυσωπῆσαί σε τὸν υἱὸν αὐτῆς καὶ θεὸν ὑπὲρ εὐτελοῦς νηπίου καὶ δυστυχοῦς καὶ ὅσον οὔπω νεαροῦ ἥκιστα οὐδὲ ἀπηξίωσεν· ἀεὶ γὰρ χρῆται φιλανθρώπως μακροθυμίᾳ ἡ φιλάνθρωπος μήτηρ σου. Ἡ σὴ δὲ ἄρα ζωοποιὸς ἥψατό μου τότε χεὶρ καὶ εὐθέως ἀνέπνευσα καὶ τῶν ἐνταφίων ἀνέθορον. 'Εφ' ᾧ τε περι-

SISMANOGLIO MEGARO



χαρὴς γεγονυῖα τῇ πανάγνῳ μητρί σου ἱκέτις με μήτηρ δοτὸν
εἰς δουλείαν καθάπαξ ἀνέθετο. Οὕτως ἄρα νηπιόθεν θεραπεί-
ας ἑξῆς ἀπολαύειν ηὐμοίρηκα προστασίαις μητρός σου τῶν ἀ-
φάτων οἰκτιρμῶν τῆς σῆς ἀγαθότητος, δέσποτα. 'Εντεῦθεν ὑ-
πὸ χρυσῇ τοιαύτῃ τῶν ἀγαθῶν μοι ἀγκύρᾳ καὶ χρηστῶν ἀεὶ
ἐπικούρῳ παιδαγωγοῖς τε ἐστοίχουν ὁμοῦ καὶ μαθήμασιν, ὦ
ἄνδρες, καὶ φροντιστηρίοις ἅμα καὶ παννυχίσι καὶ νυκτεριναῖς
ᾠδαῖς τε καὶ ἀναγνώσεσιν. 'Εντεῦθεν ἱεροῖς ἀνδράσιν ἐθάμιζον
ἀσκηταῖς τε καὶ θύταις, ὑπὸ μεγάλῳ δηλονότι μυσταγωγῷ
καὶ ἀρχιερεῖ σοφωτάτῳ σπαργανούμενός τε καὶ τιθηνούμενος
καί γε θεῖα μυούμενος.

'Επεὶ δὲ καὶ παιδιαῖς ὡς παιδίον ἔτι σχολάζειν εἱλκόμην
τοῖς ἥλιξιν, ἔργῳ τὰς παιδιὰς ἀθροῦντος καὶ τείνοντος δαί-
μονος, πάλῃ τινὶ τῶ πόδε προσκεκρουκὼς ὕπτιος κατὰ γῆς ἑ-
ωρώμην, νεκρὸς ἔμπνους ἄναυδος· τὸ γὰρ δεξιὸν κατεάγη βίᾳ
μοι περικνήμιον φίλτατον. Ὅθεν καὶ ὠμηδὸν οἴκαδε καὶ φο-
ράδην ἐπεφερόμην καὶ τοκεῦσι πάλιν ἄλλη ξυμφορὰ τῆς πρῴ-
ην ὑπεκείμην ἀθλία καὶ πολλῷ χαλεπωτέρα τῷ πτώματι. 'Εν-
τεῦθεν πάλιν κόμης σπαραγμοὶ καὶ ξέσεις παρειῶν καὶ θρήνων
γόοι καὶ ὀχετοὶ δακρύων μητρικῶν ὑδάτων κρουνοῖς παρα-
πλήσιοι. 'Εντεῦθεν κλαυθμὸς συγγόνων ἀνύποιστος καὶ προσ-
ηκόντων πάντων συνάθροισις. 'Εντεῦθεν πρεσβυτέρων σύλλογος,
μοναχῶν τε ξυνέλευσις καὶ παιδαγωγῶν καὶ συμφοιτητῶν θρῆ-
νος ἄστεκτος ἅμα συνήλιξι. Πάντων δ' ἐχομένων ἀκολούθως
τοῦ πτώματος, ἐπεί περ μόλις κατ' ἐμαυτὸν γενέσθαι δεδύ-
νημαι, μέγα φωνῶ τῇ συμμάχῳ, ἀνακαλοῦμαι πάλιν τὴν πρό-
μαχον, τὴν συνήθη καὶ χρυσῆν μοι προστάτιν.

'Επικαλοῦμαι τὴν ἀρωγόν, ἱκετεύω τὴν ἄγκυραν, προφθά-
νει πάλιν ὀξέως ἡ σώτειρα, κήδεται τῶν φωνῶν, ἐλεεῖ τὴν μη-
τέρα, οἰκτείρει τοὺς συγγενεῖς, τῶν πρεσβυτέρων τὰς δεήσεις
προσίεται· διεγείρεται μὲν οὖν πρὸς θεραπείαν ἡ τοῦ θεοῦ μή-
τηρ καὶ παρθένος καὶ δέσποινα, αἰτεῖται δὲ τοῦτο ταρὰ παι-
δὸς αὐτῇ μονογενοῦς καὶ κυρίου, ἱλεοῦται τὸν υἱὸν καὶ δεσπό-
την καὶ παροτρύνει δεήσεσι τὴν αὐτοῦ ἀγαθότητα καὶ δέχε-
ται θελήσαντα ἵλεων. Προσίεται ταύτην ὁ 'Εμμανουὴλ αὐτῇ

παῖς καὶ θεός καὶ δέχεται καὶ πληροῦν φάσκει τὸ θέλημα.
Καὶ ὃς τῇ πλαστουργῷ καὶ θείᾳ δεσποτικῇ χειρὶ νυκτῶν ἀ-
ωρὶ ἐν ἀκαρεῖ κρατήσας τὸ κατεαγὸς ἀνήρθρωσέ τε παραχρῆ-
μα καὶ ἥδρασε καὶ τοῦθ' ὑγιὲς ὡς τὸ ἄλλο περικνήμιον νὴ
τοὺς λόγους ῥᾷον εἰργάσατο καὶ δίδωσι μόνη μόνῳ θεραπευ-
τῇ υἱῷ καὶ θεῷ τὴν εὐχαριστίαν ἡ μήτηρ· καὶ ὄναρ διδάσκει
τὴν τοῦ κατηγμένου θεραπείαν εὐθέως τὸν κάμνοντα. Διὸ καὶ
ὀδυρμοῖς εὐχαριστία σύμμικτος χαρμοσύνως τῷ σωτῆρι ἀνῄ-
δετο καὶ τῇ τούτῳ μητρὶ καὶ προστάτιδι. Οὐκ ἄρα τοίνυν
καὶ τοῦτο τῶν ἐσχάτων ἀνθρώποις κινδύνων πτωμάτιον; ἆ-
ρα παρεῖδες; παρῆλθες; τὸ ἄχθος, τὸ ἄγος, τὸ ἄχος, φιλάνθρω-
πε, τὰ πιέζοντά με τῶν κακῶν χαλεπώτατα; Ἢ δεύτερον ἐῤ-
ῥύσω πικροτάτου θανάτου με διὰ τῆς μητρός σου εὐσπλαγ-
χνίᾳ, ὦ δέσποτα. Τὰ δὲ ἐν μέσῳ μοι πρὸς τῆς σῆς ἀγαθότη-
τος εὐεργετήματα καὶ πάνυ μοι ἄῤῥητα· ὅθεν καὶ βυθῷ τῶν
καλῶν ὥσπερ ἰλίγγῳ γενόμενος τὰ πλεῖστα παρίημι. Ἀλλὰ
καιρὸς ἐπὶ τούτοις ἐπιθέει ξυχνός. Καί γε μαθημάτων ἑλλη-
νικῆς προπαιδείας ἀφέμενος ἅπτεσθαι καὶ μειζόνων τὸ λοι-
πὸν ἐπεχείρουν· ἔρως γάρ με τοιούτων εἶχεν οὐχ ὁ τυχών,
ὥς τε μιν καὶ χρυσέοισιν ὑπὸ κίοσι θεῖναι φιλονεικῶν κατὰ
Πίνδαρον· εἴ γε καὶ ὑποχαυνώσας ἔρως ταῖς ὑστεραίαις τὴν
νωθρείαν ἐπήγαγεν. Ἐπεὶ δὲ καί τισι τῶν ἱερογράφων σχολά-
ζειν ἐπόθουν, ἤκουόν τε καὶ ἀνεμάνθανον τῆς ἐπὶ γῆς Χριστοῦ
παρουσίας τὰ θαύματα καὶ ὡς Ἱεροσολύμοις ὁ μονογενὴς τοῦ
θεοῦ παῖς ἀῤῥήτως ἐκ παρθένου τεχθεὶς, θεανδρικῶς τε πολι-
τευθεὶς καὶ ἰορδανείῳ ῥείθρῳ παλαιᾶς καχεξίας τοὺς βροτοὺς
ἀπαλλάξοι καὶ τὰ πάλαι ᾀδόμενα τελέσειε τέρατα, εἶτα καὶ
τὰ ἑκούσια πάθη παθεῖν καταδέξοιτο καὶ νεκρωθῆναι καὶ τα-
φῆναι μετὰ σταυρὸν καὶ στρατιωτικῇ κουστωδίᾳ τηρηθῆναι
θελήσαιεν, εἶτα καὶ ὡς ἀνασταίη τριήμερος κατὰ τὰς θείας
φάναι γραφάς, ἔπειτα ὡς μαθηταῖς τε ὀφθείη πολλάκις καὶ
ἄλλοις τε πλείοσιν ἐφ' ἡμέραις ὅλαις φασὶ τεσσαράκοντα καὶ
πάντων καθορώντων ὡς ἀναληφθείη ἐπ' οὐρανὸν καὶ τὴν ἣν
παρέλαβε βροτείαν φύσιν τιμήσειε καὶ ὡς τὸν θεῖον παράκλη-
τόν τε τοῖς μαθηταῖς κατὰ τὴν ἐπαγγελίαν οὐρανόθεν ἐξα-



ποστείλειε παρὰ πατρὸς ἐν πυρίνων εἴδει γλωσσῶν. Ἐπεὶ
ταῦτα ἔμαθον πρὸς τῶν ἱερῶν λογίων μυούμενος, μηδέν τι
μελλήσας ὅλος ὅλως ἐγεγόνειν τοῦ πράγματος καὶ θεατὴς γε-
νέσθαι τούτων ἱκέτευον· ὅθεν καὶ τὰ ἱερά με προσεφίζανε λό-
για καὶ οἷά τίς μοι σῆς αἰσθητὸς δι' ὀστέων ἐτύγχανεν. Ἀ-
μέλει καὶ παιδείας ὥσπερ ἐν ὀλίγῳ γενόμενος φροντίδα εἶχον,
ὅπως ἂν εὐχερείας δραξάμενος εἰς αὐτοὺς τοὺς τόπους ἀφίξαι-
μι, τὴν φιλτάτην δ' ὅμως ἐδεδοίκειν μητέρα ὡς, εἰ γνοίη, πάν-
τως κωλύσουσαν· ὁ γάρ τοι πατὴρ πρὸ καιροῦ τέως πάλαι
τὸ πνεῦμα πρὸς τὰς ἄνω λήξεις ἀπέθετο. Περὶ δέ γε τοῦ πρώ-
του συγγόνου καὶ τῶν ἄλλων μοι προσηκόντων σχολῇ γ' ἂν
ἔροιμι. Ταῦτα εἰς νοῦν βαλόμενος ἐπὶ τὴν ἀρωγὸν καταφεύ-
γω, ταύτην ἱκέτευον, ὅπως ἄν μοι παράσχοι καιρὸν τὸν οὔ
παρά του κωλυθῆναι δυνάμενον. Ἤιτουν ὁσῶραι τὴν ξύμμα-
χον τοῦθ' ὑπὲρ ἔφεσιν ἅπασαν. Ἡ δὲ ὡς ὀξυτάτη μάλα προ-
φθάνει μοι πρόμαχος ἀεὶ τὰς δεήσεις τῶν αἰτούντων δεόντως
περαίνουσα, προσίεταί μου τὴν αἴτησιν, ταύτῃ τοι καὶ πέρας
ἐπιδίδωσιν αἴσιον.

Ὤριστο κατ' ἐκεῖνο καιροῦ τοῖς θεοστεφέσιν ἀοιδίμοις καὶ σε-
βαστοῖς αὐτοκράτορσι πρέσβεις ἐπιλεγῆναι τάχος εἰς Ἄραβας,
ᾗ καὶ ἁπανταχῇ κρείττους ἐπελέγοντο μάλιστα, χρεία δὲ
τούτοισιν ἄρα καὶ ὑπογραμματέως παρῆν· τέλος δὲ πολλῶν
γε συγκρινομένων ἐπ' ἐμὲ ἡ ψῆφος ἀνήγετο. Οὕτως ἄρα θεό-
θεν τοῖς ἄναξι ταῦτα νενόμισται. Ἀμέλει καὶ κυροῦται τοὔ-
πίταγμα καὶ τοῖς πρέσβεσιν ὁμέστιος γίγνομαι καὶ βραχὺς
ὁμοδίαιτος καὶ ὅλος ὅλοις ἠρίθμημαι τὸ δωδεκαέτιον ἄρτι προ-
σεχῶς διαυλούμενος· τῶν σῶν δ' αὖ καὶ τοῦτο σοφῶς τερα-
στίων τῆς περὶ ἐμέ σου προνοίας διὰ τῆς πανάγνου μητρός σου,
πανύψιστε. Ναῦς τοίνυν αὐτοκρατορόθεν ἡτοίμασται καὶ ὁλ-
κὰς τοὺς γόμους ἐδέδεκτο. Εἶχε δ' ἄρα συνάμα τοῖς πρέσβε-
σι τὸ πλοῖον νυκτός με καλῶς συναπάραντα μὴ τῆς φιλτά-
της μητρὸς, μὴ συγγόνου, μὴ καθηγητῶν, μὴ προσηκόντων
οὑτινοσοῦν καθοπωσοῦν ᾐσθημένου τὸ σύνολον. Κὰκ πρώτου
τοιγαροῦν τὰ ἱστία σὺν θεῷ σωτῆρι πετάσαντες, τοὺς δ' ἐξι-
τηρίους αὐτῷ τε μητρί τε πανάγνῳ ὕμνους προᾴσαντες ὅλῳ

φορῷ γε κατεπλέομεν πνεύματι. Εἶτα ἔν τινι τῶν Κυκλάδων καὶ Αἰολίδων ἀνέμων τροπῇ φερόμενοι προσωρμίκαμεν, κακεῖθεν μετ' οὐ πολὺ καὶ αὖθις ουρίῳ προσπλεύσαντες κατὰ μέσου Ἰωνίου τὴν πορείαν ἐποιούμεθα, νήσους δ' ἑωρῶμεν ἱερὰς καὶ γεμούσας κατὰ μέσου πελάγους τοῦ θαύματος τέρψιν οἵαν ἡδεῖαν παρεχούσας ἀνδράσι ναυτιῶσι τὰ μάλιστα, μεθ' ἃς τὸ Αἰγαῖον ἅμα θεῷ ἀποπλεύσαντες τὴν τοῦ Ἀλεξάνδρου περιώννμον κατελάβομεν πόλιν.

Ἡι δὴ παρὰ τῷ Φάρῳ Χοιὰκ(1) ἤδη καλανδῶν πρώτῃ προσορμίσαντες ἐκεῖθεν παρὰ τῷ δουκὶ τῶν Ἀράβων καταλελύκαμεν ἐφ' ὡρισμένον ἔτι καιρόν, ἕως ἂν ἐξ Αἰγύπτου βασιλική τις κέλευσις ἐληλύθει μεταστελλομένη μάλα λαμπρῶς ἡμᾶς ὡς αὐτὸν καὶ οἱ βασιλικοὶ δὲ τηνικαῦτα παρῆσαν ἐκεῖθεν δρόμωνες, τούτοις τὴν Ἀλεξανδρέων τῷ νειλώῳ ῥείθρῳ διανηξάμενοι γῆν. Μέρος δέ τι τοῦτο ποταμοῦ τοῦ Γαιὼν καὶ κατὰ μέσης αὐτῆς μετωχετεύθη τῆς περιοικίδος γῆς ἐντέχνως τοῖς Ἄραψι καὶ στοιχηδὸν ἀμφοῖν τοῖν μεροῖν παρ' ἠϊόνας καὶ ψαμάθους καὶ ὄχθας ὑπτίας τὸ νειλῷον ὕδωρ δένδρεσιν ὡραίοις παντοίοις κατέστεπται βαρυνομένοις εὐανθέσι τοῖς ἄνθεσι καὶ κομῶσιν ἔρνοις ἁπαλοῖς τε καὶ φύλλοις εὐωδίας ἀπόζουσι καὶ καρπῶν καταβρίθουσι καὶ ἁπάντων περιϊόντων εἰς τέρψιν ἡδεῖαν τὴν ὄψιν ἐφέλκουσι. Τούτων μόλις τὰς ὄψεις ὀψὲ τῆς ἰδέας ἀπάραντες τὴν Αἰγυπτίων πεφθάκαμεν. Καὶ κατάραντες ἵπποις μάλα τιμίως ἀνήχθημεν προσαχθέντες τῷ Ἄραβι. Τὰ τοῦ παγκάλου Ἰωσὴφ ἑωράκαμεν τῇ δε ταμεῖα καὶ τῷ σίτῳ σοφίας οἰκήματα καὶ τἆλλ' ὅσα ταῖς εὐδαιμονίαις αὐτῷ τῆς τέχνης ἐσκεύαστο. Τεθεάμεθα ἐκεῖ τινα λόγου καὶ μακρᾶς ἱστορίας δεόμενα· σιωπῇ δὲ τέως τουτωνί γε τῷ θέειν λόγον κατ' ὁρμαθὸν ἐθέλειν ἐπ' εὐθείας παραθέοντες ταῦτα τὰ τοῦ λόγου ἑπόμενα τῇ τάξει προσάψωμεν.

Τῷ γάρ τοι βασιλεῖ τῶν Ἀράβων (ταὐτὸ γὰρ Ἀράβων καὶ Αἰγυπτίων καὶ Σύρων εἰπεῖν καὶ Λιβύων καὶ Αἰθιόπων) καιρόν τινα προσμείναντες καὶ εἴ τι δι' ἐφέσεως εἴχομεν ἐκπερά-

(1) Περὶ τῶν μηνῶν ὅρα κατωτέρω.

SISMANOGLIO MEGARO



ναντες πρὸς αὐτῷ, εἶτα καὶ πρὸς τοὺς ἁγίους τόπους ἀφίξεσθαι πρὸς αὐτοῦ αἰτησάμενοί τε καὶ λαβόντες τὴν ἐπὶ τὰ Ἱεροσόλυμα εὐθὺ πεπορεύμεθα, ποῖ μὲν δι' ἐνοικίδος γῆς καὶ χωρίων ὡραίων καὶ μεμεστωμένων ἀγαθῶν παντοίων καὶ δένδρων μηδικῶν καὶ φοινίκων ἅμα περσικῶν καὶ καλάμων χιόνας βρυόντων τοῦ σάκχαρος καί γε ἄλλων εἰς τέρψιν θέας καρπῶν ἀνθρώπων ἀπόῤῥητον, ποῖ δὲ καὶ δι' ἐρήμου καὶ ἀνύδρου καὶ ἀνίκμου καὶ τῷ ὁρίζοντι μεσαιτάτῳ φλεγομένης ἀπαύστως καὶ ὁτιοῦν οὐκ ἐχούσης παριοῦσί τισι παραμύθιον, ζέσει δὲ πόθου μᾶλλον τῇ εἰς τὸ θεῖον καὶ τὰ θεῖα ἰδεῖν ἀναβαίνοντες. Εἴδομεν ἐκεῖσε καὶ σεισθέντα πάλαι τῷ τοῦ Ναυῆ παιδὶ τείχη Ἱεριχώντεια ἐναλλαγῇ φωστήρων καὶ κύκλῳ στοιχηδὸν ἑβδόμῳ πρεσβυτέρων ταῖς σάλπιγξι. Πόλιν τεθεάμεθα Γάζαν, ἣν εὐνοῦχος Αἰθιόπων βασιλίσσης τὸ πρότερον προκλήσει τοῦ ἀποστόλου περιώνυμον εἰσέτι προτέθεικεν. Ἄλλ' ἄττα ξὺν τοῖσδε πολλῆς μνήμης ἑωράκαμεν ἄξια ἄχρι ἧς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ κατελάβομεν· ἁγίαν γὰρ ἂν φαίη τις ταύτην καὶ νῦν, ὡς οἶμαι, τῶν νουνεχῶν καὶ εἰ ποσί.... συγχωρήσει θεοῦ.... (1)

Ταύτης εἴσω γενόμενοι ὅλοι παραχρῆμα τῶν σωτηρίων Χριστοῦ παθημάτων γεγόναμεν καὶ εὐθέως αὐτῶν πεσόντες ὀχημάτων ἐπὶ τὴν γῆν τῷ κυρίῳ προσεκυνήσαμεν πάλαι ἀνθρώποις ἐκεῖθεν ὀφθέντι σαρκὶ καὶ τὸν ἄνθρωπον ἀναπλάσαντι, τὴν δ' ἀρχαίαν ἀρὰν τῷ Ἀδὰμ ἐκμειώσαντι καὶ τὸν θάνατον καταργήσαντι καὶ τὴν φθορὰν καταλύσαντι, χαρὰν δὲ καὶ ζωὴν καὶ ἀφθαρσίαν ὑπὲρ λόγον τοῖς ἀνθρώποις δαψιλῶς χορηγήσαντι. Ἀμέλει τῷ τηνικαῦτα πατριάρχῃ περιετύχομεν καὶ πρὸς αὐτοῦ δὴ εὐλογίας τυχόντες ὡς μέλιτταί τινες ἁπανταχῇ τῶν ἀνθέων περιεθέομεν, τοῖς ἄνθεσιν ἐφιζάνομεν, τῆς ἡδύτητος ἐδρεπόμεθα καὶ τοῦ κάλλους ἐνεφορούμεθα. Εἶτα παννύχιοι καὶ πανημέριοι τοῦ ἁγίου νεὼ τῆς ἱερᾶς τοῦ Χριστοῦ καὶ ζωοποιοῦ ἀναστάσεως ἐφ' ἅπαξ πάντως γενόμενοι (τουτὶ γὰρ ὡρίσμεθα πρὸς τοῦ ἄρχοντος αἰτησάμενοι) τὸν

(1) Παρελίπομεν στίχους ἑπτά.

τῆς ἀναστάσεως πρόσφορον ὕμνον τῷ θεῷ ἀνεμέλψαμεν καὶ
τὴν ἀναίμακτον ἕωθεν διὰ τοῦ πατριάρχου καὶ τῶν εὐλαβῶν
πρεσβυτέρων θυσίαν τελέσαντες τοὺς φρικώδεις ἐκείνους καὶ
ἁγίους τόπους προσεκυνήσαμεν, Γολγοθᾶν φημι τὸν Κρανίου
καὶ τὸν ἀναστάσεως, κεφαλάς τε τούτοις καὶ μέτωπον καὶ ὄψιν
καὶ ὄμματα προσρυψάμενοι, δάκρυά τε θερμὰ καταχέαντες καὶ
τῷ θεῷ ἀνθομολογησάμενοι καὶ φωτισθέντες ἔνδον τὰ ὄμμα-
τα καὶ τῷ ζωοδόχῳ προσριφέντες ἀχράντῳ τάφῳ καὶ ἀσπα-
σάμενοι καὶ θρήνου καὶ χαρᾶς γενόμενει ἔμπλεῳ καὶ προσκυ-
νήσαντες καὶ πολλὰ ἐπειπόντες καὶ ἐπευξάμενοι διέξιμεν τοῦ
ἁγίου ἐκείνου νεὼ καὶ τῷ πατριάρχῃ πρὸς δεῖπνον ἁβρὸν ἀνε-
κλίθημεν.

Ἀλλ' αἰσθάνομαι, φιλόθεον ἄθροισμα, ὡς καὶ ὑμᾶς παρεν-
τυχεῖν ἐθέλειν τοῖς τερπνοῖς τουτοισὶ καὶ ὡραίοις δι' ἐφέσεως
ἔχοντας, ἀλλ' ἡμεῖς δὲ καὶ ἕωθεν τὰ λοιπὰ κατιδέσθαι τοῖς
προτέροις διέξιμεν. Ἀμέλει καὶ Βηθλεὲμ γῆς Ἰούδα οὔ τοι
πόῤῥωθεν οὔσης γενόμενοι τῆς κατὰ σάρκα Χριστοῦ παρουσίας
ὅλοι γεγόναμεν. Προφητική δέ τις ἡμᾶς μεγάλη παραχρῆμα
περιήχησε σάλπιγξ « οὐδαμῶς ἐλαχίστη λέγουσα καὶ σὺ Βη-
θλεὲμ γῆ Ἰούδα εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα· ἐκ σοῦ γάρ μοι ἐξ-
ελεύσεται ἡγούμενος, ὃς ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ».
Ἧ πρὸς γῆν πεσόντες προσεκυνήσαμεν ᾆσμα τῷ θεῷ ἀνα-
πέμψαντες. Ἑωράκαμεν ἐκεῖσε σπήλαιον κυοφοροῦσαν πάλαι
τὴν παρθένον δουλικῶς τὸν δεσπότην ὑποδεξάμενον, ὃ οὐ-
ράνιον πάλαι περιήστραψε φῶς, ἄνωθέν τε περιεστοίχησαν ἀ-
σώματοι κύκλῳ τάξεις οὐράνιαι τὸν σωτήριον ὕμνον τῷ τι-
κτομένῳ θεῷ σαρκικῶς ὑπεξᾴδουσαι, ἄλλοι τε τῶν ἀγγέ-
λων τοῖς περιτυχοῦσι τῷ χώρῳ ποιμέσι ποιμνίου νυκτὸς τὴν
εὐάγγελον ἀγγελίαν ἐκείνην καὶ φάους γεννήτριαν ὤφθησαν
ἀπαγγέλλοντες· φάτνην σὺν τούτῳ κατίδομεν τῶν ἀλόγων
οὖσαν τὸ πρότερον, εἶτα τοῦ βρεφωθῆναι καὶ σπαργάνοις εἰ-
ληθῆναι καὶ ἀνακλιθῆναι ταύτῃ θελήσαντος προστάγματι
ἀλογίας ἡμᾶς ἀπαλλάξασαν.

Ἐντεῦθεν ἀμβροσίας ἐκεῖθεν τρυφὴν τετρυγήκαμεν. Εἶ-
τα καὶ πρὸς Ἰορδάνην ἀπήεμεν καὶ τῷ ῥείθρῳ ἐπέβημεν κα-

SISMANOGLIO MEGARO



ταδῦσαι οἷον αὐτῷ τὸ αἶσχος βουλόμενοι τὸν ἅγιον τοῦτον
ποταμὸν ὑπῃνέσαμεν μάλιστα. Εἶτα τῷ δι' αὐτοῦ καὶ ἐν αὐ-
τῷ ἀνθρώποις εἰργασμένῳ τὴν κάθαρσιν τὴν ᾀσματικὴν θεῷ
μελῳδίαν προσάξαντες τῶν διατριβῶν Ἰωάννου τοῦ πάνυ καὶ
βαπτιστοῦ κατόπιν περιθέειν ὡρμήκαμεν, παρ' οἷς καί γε τῆς
ἐκεῖσε οὖσιν ἱεροῖς φροντιστηρίοις περιτυχόντες, ἄνδρας τε
ἱστορήσαντες ἀσκητικοὺς καὶ ἁγίους καὶ ἀγγέλοις ἐφαμίλλους
τυγχάνοντας καὶ ὠφεληθέντες τὰ μάλιστα καὶ πᾶσι τούτοις
συνταξάμενοι καὶ εὐχῶν πρὸς αὐτῶν ἀπολαύσαντες, εἶτα καὶ
ἀσπασάμενοι καὶ πολλὰ τῆς καρτερίας αὐτοὺς μακαρίσαντες
τῆς ὄπισθεν πάλιν εἰχόμεθα.

Ἀμέλει τῆς ἁγίας καὶ αὖθις ἔνδον γενόμενοι πόλεως τῶν
ἁγίων ἐκεῖθεν ὅλοι συμβόλων γεγόναμεν, ἐπείπερ τούτων ἀ-
κορέστως ἦμεν ἐχόμενοι. Εἶτα τούτων ὀψέποτε μόλις ἀποσπα-
σθῆναι δυνηθέντες ταῖς πατριαρχικαῖς ἐπισκήψεσι καὶ αὐτῷ
συνταξάμενοι καὶ εὐχὰς αἰτησάμενοι καὶ ἀσπασάμενοι συνά-
μα τοῖς ἀμφ' αὐτὸν ἱεροῖς ἅπασι τῆς πόλεως ἔξιμεν. Ταύτης
δ' ἐξιόντες αὐτῶν ἀποβάντες ὑποζυγίων ὅλοι θεῷ πρὸς γῆν
πεσόντες προσεκυνήσαμεν. Εἶτ' ἐκεῖθεν τῆς φερούσης εἰχόμε-
θα. Οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ᾇ βασιλεῖ τῶν Ἀράβων περ εἴ-
χομεν ἐκπεράναντες τὴν ἐς τὴν οἰκείαν ἄνοδον ᾐτησάμεθα, οὗ
δὴ καὶ τυχόντες καὶ δώροις ὅτι πλείστοις πρὸς αὐτοῦ τετυ-
χηκότες ἐκεῖθεν χαίροντες ἀπηλλάγημεν.

Τί δαὶ καὶ ταῦτα; οὐ τῶν σῶν ἐξαισίων ἀγαθοποιῶν τεραστί-
ων ἦν ἔργον, ὦ ἄναρχε τοῦ θεοῦ λόγε καὶ παῖ, διὰ πανάγνου μη-
τρός σου Μαριὰμ ἀειπαρθένου θεόπαιδος; οὐ σύ γε ἦσθα ἡμῖν ὁ-
δηγὸς καὶ νεφέλη καὶ στύλος ὁδηγῶν δι' ἐρήμου καὶ θαλάσσης . .
. (1) ἐπὶ γῆν ἁγίαν θεοστιβῆ, ῥέουσαν μέλι καὶ γάλα, ὡς πάλαι
τὸν Ἰσραλίτην λαόν; σὸν ἄρα τουτὶ τὸ κοινότατον θαῦμα, ὦ θεὲ
καὶ σῶτερ καὶ δέσποτα καὶ παρθένου ἄφθορε γόνε μονογενὲς καὶ
ἀΐδιε. Τί δ' ἂν ἑξῆς φαίημι; ἐπινυστάξαι σου τὰ ἀνύστακ-
τα ὄμματα, ἢ μὴν τῇ πάλαι χρώμενόν σε φιλανθρωπίᾳ συνή-
θως πειρᾷ οὓς πειράζειν ἀῤῥήτως προέλοιο; καθάπερ Ἀβραὰμ

(1) Παραλείπονται λέξεις τρεῖς.

πειράζων, ἴσμεν, τῇ γραφῇ τὸν πατριάρχην ἐπείραζες ἔντε κληροδοσίᾳ γῆς καὶ γενέσει τόκου καὶ σφαγῇ μονογενοῦς αὐτῷ παιδὸς καὶ πρὶν ἐν Αἰγύπτῳ γυναικὸς ὑποκρίσει φυγῆς θανάτου καὶ Ἰσαὰκ ἐν ἄλλοις δῆτα σοφίσμασι καὶ Ἰακὼβ τ'ἐν κηδεστῇ καὶ ποιμνίοις καὶ ἀγγέλων τε πάλῃ καὶ φρικτῇ ὀπτασίᾳ, ἔτι καὶ τῇ τοῦ συγγόνου θεομισεῖ ἀποστασίᾳ καὶ δέει καὶ τοῖς ἄλλοις ὡσαύτως τῶν μακαρίων ἐκείνων ἀνδρῶν ἀπειραπείροις κατορθώμασιν· οὓς ἂν εἰ ὅλως ἀπαριθμοίην, ταὐτό τι πάθω τοῖς ἀπειροκάλοις τῶν διαμετρεῖν ἑλομένων οὐράνιον ἀστρῷαν πληθὺν καὶ τοὺς ψαμμώδεις τῶν μυρίων ἠϊόνων χόας καὶ νεὼς ἴχνη νηχομένης παριχνεύειν ἐπόπισθεν. Ἀλλ' ἐκείνοις μὲν οὖν καὶ τοῖς ἴσοις ὡς ἄρα θεραπευταῖς οἰκείοις συνεγίνου ἀῤῥήτως οἷς εἵλου κρίμασιν, ἡμῖν δὲ ὄντως οὖσιν οὕτως ἀχρήστοις οὐ μενουν ὁμοίως τὴν πεῖραν ἐπῆγες, φιλάνθρωπε, ἁμαρτωλοῖς καὶ ψυχὴν ταλαιπώροις καὶ οὐδεμίαν ἐκείνοις ἐνάργειαν κεκτημένοις κατάλληλον, δι' ἀπότισιν δὲ μάλιστά φημι τῶν κακιῶν τῶν ἡμετέρων καὶ ἔκτισιν, ἦ μὴν εἰς ἐκτριβὴν τε καὶ ἔκρυψιν. Ἀλλ' ὅμως εἴτε τό, εἴτ' οὖν ἐκεῖνο, τῆς ἡμᾶς σου προνοίας, ἀγαθέ, ἄῤῥητον ἦν τουτὶ κρῖμα, διὸ καὶ κατὰ πάντα ὑπείκειν τοῖς ἁγίοις σου κρίμασιν εὐχαρίστως χρεὼν ἡμᾶς, ζυγοῖς τε φέρεσθαι τῆς προνοίας ἐπιμελῶς. Ὅθεν, ὦ φίλτατοι, ὡς ποθεῖτε νῦν οἶδα τὴν ἀπ' Αἰγύπτου πυθέσθαι διέκπλευσιν οἴκαδε ἐκεῖσ' ἔτι τῷ λόγῳ προσμείνασαν.

Ἀλλὰ τοῦτο δὴ καὶ ποιήσομαι καὶ εἰ παρεκβατικώτερον τῷ λόγῳ τῆς ἱστορίας ἀνήχθημεν. Εἶχε μὲν οὖν ἡμᾶς διαποντίους βασιλική τις Ἀραβιόθεν ὁλκὰς τέτρασι νυξὶ σὺν ἡμέραις τοσαύταις τὸ Αἰγαῖον ἐκπλέοντας, νυκτὸς δὲ τὸν φορὸν ἀμειψάμενα καὶ τὴν θάλασσαν σφοδρῶς ἀγριάναντα ὑπερόρια πνεύματα τυφῶνος ἅμα καὶ καταιγίδος γεγένηνται καὶ ἡ θάλασσα σάλον πολὺν ἀποπτύσασα μικροῦ τὸ κλυδώνιον παρεστήσατο, τὸ δὲ ναυάγιον, ὢ οἷον, ὅλον εἶναι ἀγχοῦ διεμήνυεν. Ἀμέλει καὶ σωτηρίας αὐτοῖς ἡμῖν ἀπειπάμεθα· ἤδη γὰρ τῆς νυκτὸς παρελθούσης οὔκουν οὐχ ἡμερήσιον ἡμῖν ἐπέλαμπε φῶς, οὐχ ἡλιακή τις ἀκτίς, οὔκουν δή τις κεδνὴ καὶ λαμπρόεσσα καθ' Ὅμηρον αὐγὴ χρυσέα φαάνθη ποτέ. Ἀλλ' ἔτι τὸ πᾶν ἀμαυρὸν ἦν καὶ ὅλον γε νὺξ καὶ μέν γε καὶ θάλαττα τοῖς οὐρανίοις ὅλοις ἁμιλλᾶθαι ἠπείγετο, κύματά τε νέφεσι προὔπεμπεν οὔρεσιν ἶσα καὶ χανδὸν ἀγρίως ἀνεώγει στόμα τὴν ναῦν αὔτανδρον καταβροχθίσασθαι· οὐχ ὕδωρ ἦν ἡμῖν ἡ θάλαττα, ἐφ' ἧς νενηχόμεθα, οὐ νεφῶν τι πρόσωπον ἑωρᾶτο, πόλου δὲ ποῦ ποτε ἄν τις καὶ ἰδεῖν ἤλπικεν ἡλιακὸν φῶς ὑπανίσχοντος οὐκ ἀέρος ἦν ἐκπνοή τις τῶν κακῶν ἀποπτύουσα.



Ἀλλά τις ξένη συνοχὴ καὶ τῶν στοιχείων ξυνέλευσις, ἣ γ' οὖν καὶ ἐδόκει τὸ περίγειον ἅπαν μοῖρά τις ἀφανίσαι βιάζουσα. Ταύτης γε μέσοι τῆς βίας οἱ τάλανες γενόμενοι αὐτοὺς ἡμᾶς ἀπωλοφυράμεθα καὶ φόρτου τὸ πλοῖον εὐθὺς ἡμῖν ἀπηλλάττετο, τὸ δὲ βίαις ἀτάκτοις κυμάτων οὔρεσιν ἴσων καὶ σάλου πολυφλοίσβου καὶ κλύδωνος διαλύεσθαι προὔλεγε. Καίτοι μὲν ἡ τρόπις πρὸς τῇ πρώρᾳ διέφθαρτο καὶ χανδὸν τῷ ῥείθρῳ σάλος κυμάτων ἅπας εἰσέδυε καὶ τὴν ἀπώλειαν ὑπεδείκνυε σαφέστατα. Ὢ τίς ἰδὼν ἄθλιος τοιοῦτό πω τὴν ψυχὴν οὐκ ἀπέπνευσεν, οὐκ αὔθωρὸν ἀπεπάγη τῷ δέει καὶ πρὶν τοῦ βυθοῦ τῆς εἰσδύσεως; ἡμῖν δὲ πᾶσι τὰ ἐπικήδεια γοερῶς μετ' οἰμωγῆς ἀθλίως ὑπῄδετο. Ἤδη δὲ καὶ πρὸς Ἀδρίαν ἄλλῃ ἄλλοθεν ἐφερόμεθα καὶ ἕκαστος ἑαυτὸν ἀπεγνώκει καὶ βύθιον διώρα κατάδυσιν. Ἔγωγε δ' οὖν καὶ πᾶσι χαίρειν οἷς ἑώρων φάμενος ὅλον ὅλοις δάκρυσιν ἐμαυτὸν ἔπλυνον καὶ τῆς ἀρωγοῦ δ' ἐδεόμην τὰ λοίσθια, τὴν πρόμαχον ἐπεκαλούμην τὰ μάλιστα καί, ὦ ταχεινή μοι ξύμμαχε δέσποινα, ποῦ ποτ' ἂν εἴης βραδύνασα, μέγ' ἀνεβόησα, καὶ τῆς ἐμῆς ἐπελάθου δυστυχοῦς ἀθλιότητος! σπεῦσον, ἴθι, παραγενοῦ μοι, τὸν κίνδυνον εἰ δυνατὸν ἀποθήσουσα· πάντα γάρ σοι τὰ παρ' ἡμῖν ἀδυνάτως ἐχόμενα δυνατὰ καὶ εὐχερῆ τε καὶ ῥᾴδια.

Εἰ δ' ὡρισμένον οὕτω θανεῖν, ἀλλά γε ποῦ αἱ προῤῥήσεις καὶ τῆς τοῦ υἱοῦ καὶ θεοῦ σου βίβλου τὰ ἱερὰ χρησμῳδὴ δήματα, οἷς αὐτὸς ἀναπεισθεὶς καὶ θαῤῥήσας εἰς τοὺς ἱεροὺς τόπους ἐξώρμημαι; Εἰ δ' οὖν, ἀλλ' ἴθι δή μοι τὴν δυσκλεᾶ ψυχὴν ἀποληψομένη πρὶν τῷ βυθῷ τῷ ἀγρίῳ συγκαταδύσαιμι. Μή μοι ζῶσιν ἔτι καὶ ὁρῶσι τοῖς ὄμμασι τὸ δεινὸν κλυδώνιον ἴδοιμι.

SISMANOGLIO MEGARO

Πρὸ καταδύσεως λιπαρῶ τὴν ψυχήν ἀπολέξασθαι, δέσποινα· χάριν μοι δίδου τὴν τελευτὴν τελευταίαν ἡ πρόμαχος καὶ μὴ ζῶν τῷ ἀστάτῳ τούτῳ πυθμένι κατέλθοιμι, νεκρὸν τὸ σῶμα τῷ βυθῷ καταδύσαιμι, χάριν αἰτοῦ ὑπὲρ τοῦδε τὴν ὕστατον καὶ χάριν ὁμολογῶ σοι τὴν ἀνωτάτω. Σὺ δὲ ὦ μῆτερ ἀθλία τέκνου δυστυχοῦς ἀθλίου καὶ ἀθλιωτέρα στερηθεῖσα κακῶς, πῶς ὑποίσεις τὸ γεγονὸς; ὦ μῆτερ, ὦ οἷον χαλεπῶν συμβεβήκει σοι! ὦ πένθους ἀστέκτου καὶ βίου ἀλγεινοῦ καὶ πόθου ἀνωφελοῦς! ὦ μέγα παρακοὴ κακῶν ἐμπόδιον! ἐγὼ γὰρ ἤδη πελαγώδεσιν Αἰγαίοις ἢ Ἀδρίοις ἴσως βυθοῖς ἢ Λυβικοῖς ἢ βαρβαρώδεσι φερόμενος πόντιος συγκαταδύομαι τήμερον κεισόμενος πάντως γε ὄνειδος ἡλικιώταις καὶ ξένοις ὁμοῦ καὶ αὐτόχθοσιν ὡς παρακοῆς τὸ βάρος δεξάμενος κἀκπιὼν ἁλμυρίας σκῦφον νῦν τὸν πικρότατον. Ἕν μ' ἀποκναίει θανάτου βαρύτερον, ὅτι οὐ βουλεύμασιν ἀρίστοις σῆς εὐβουλίας ὑμᾶς καὶ τὴν ἐνεγκαμένην χρυσῆν ἐναπέλιπον, ὅτι αὐτοβουλίᾳ χρησάμενος ὡς οὔπω τοὺς Αἰγυπτιαίους κόλπους ἰδεῖν ἐπεθύμησα. Εἴτουν ἐνταφῆναι ἢ μᾶλλον ἐναπεῤῥίφθαι ἁλίαστος, ὦ φιλτάτη μοι, οἷά σοι περὶ παιδὸς ἐρατεινοῦ ξυναντήσεται ψυχρότατα ῥήματα! ὦ μέγα σύγγονε καὶ γλυκύτατε, ὢ οἷον ἀνθ' οἵου ῥῆμα κομίσαιο! ὦ φίλτατοι πάντες μοι, ὢ πῶς ὑποίσετε τὸ κλυδώνιον! ὢ πῶς ἐνέγκοιτε τὴν ξυμφορὰν! ἐστέρησθέ μοι, παμφίλτατοι. Ἀλλ' εὔχεσθαι μὴ ἀποκάμητε χῶρον χορηγῆσαί μοι φωτεινὸν τὸν θεόν· οἶδε γαρ ὁ ἀκοίμητος, ὅτι τῶν ἀχράντων αὐτοῦ παθημάτων καὶ σωτηρίων χάριν ὧδε πεπόρευμαι καὶ τὸν οἴκτιστον ἐν μυρίοις κύμασιν ὄλεθρον καθυφίσταμαι. Χαίρω, ὅτι τῷ θεῷ τὸν πόθον ἀφωσίωμαι, τὸν τῶν καλῶν ἔρον διεπέρανα· δεῖξαι αὐτῷ τὴν μακραν ἔχω πορείαν, ἣν ὑπήνεγκα πόθῳ καὶ ἐνθέῳ τῷ ἔρωτι τοῦ προσκυνῆσαι καὶ ἀσπάσασθαι τὸν Γολγοθᾶν καὶ τὴν ἁγίαν ἀνάστασιν, τὴν Βηθλεὲμ καὶ τὰ Ἰορδάνεια νάματα, οἷς τὴν κτίσιν ἐφώτισεν, οἷς τὸν κόσμον ἐλάμπρυνεν, οἷς τοὺς βροτοὺς ἀνεῤῥύσατο καὶ οἷς ἡμᾶς ἐξηγόρασεν ἰδίου χύσει αἵματος, στεῤῥὸν διὰ τοῦτο ἔχω πρὸς αὐτὸν καὶ ἐχέγγυον.

Τούτοις ὅλος δακρύων, ὅλος πένθους, ὅλος οἰμωγῶν γενόμενος, πρηνὴς πεσὼν ὅλος ἐκείμην ὅλως ἀναίσθητος, ὕπνῳ τε



βαρεῖ καταδαρθεὶς ἔξω πάντῃ νοὸς γεγένημαι εἴτε σώμασιν ὕπνῳ τοιούτῳ ἐπιφύεσθαι εἰωθότι φερομένοις ἀτάκτως, ἔκ τε μελαγχολώδους χυμοῦ καὶ αἵματος φλέγματός τε ψυχροῦ καὶ χολῆς ἅμα πυρετῷ λαβροτέρῳ φερομένῳ τοῖς ὀδυνομένοις δι' ἐμπροσθίου κοιλίας τοῦ ἐγκεφάλου ἐπὶ καταφορᾷ δεινοτέρου συμπτώματος, εἴτ' ἐκστάσει, ἄλλῃ πράξει θειοτέρᾳ, ἢ μάλ' αὐτὸς καὶ συντίθεμαι, οἷα τὸ πέρας σαφῶς μαρτυρήσειεν. Ὕπνῳ δὲ τέως ὡς ἐδόκει βεβάρημαι καὶ ὅλος ὅλως ἦν ὡς ὡρώμην ἀναίσθητος. Ὁ δὲ ὕπνος οὗτος τοῖς εἰδόσιν οὐ κάρος (1), οὐ κῶμα (2), οὐ κάτοχος, οὔτοι κατάληψις, οὐκ ἄλλο τι τοῖς πάσχουσιν ἔστι γε νόσημα, οἷ, ἅττα τῶν Ἀσκληπιαδῶν παῖδες κατονομάζουσιν, ἀλλ' οἷόν τι τοῖς ἔνθοις (3) γενομένοις πρᾶγμα καινότατον.

Ἀμέλει καὶ ἔξω ἤδη ἐμαυτοῦ γενομένῳ καὶ πάσης παρούσης αἰσθήσεως ἐφίσταταί μοι λοιπὸν ἡ παρθένος σεμνόν τε καὶ θεῖον ἐνειμένη θοἰμάτιον· ἣ καὶ μικροῦ τὴν ὄψιν διάρασα θεῖόν τε καὶ γοργὸν ἐνιδοῦσα νύττειν ἐῴκει ἄκρῳ ἐρυθραίου πεδίλου τὴν ἐμὴν κεφαλήν. Οὑτωσὶ δ' ἠρέμα μοι φάσκει, τὸ μικροῦ σοι προσκείμενον ἔγνως κλυδώνιον; τὸ σχεδὸν ναυάγιον ἐφεστὼς σοι νενόηκας; πρὸ ὀφθαλμῶν ὑμῶν κίνδυνος, ἐγγὺς ὑμῖν ὄλεθρος; δέος ἁδρὸν (4) ὑμῖν περιέστηκεν; ἀλλ' ἄγε δὴ διανάστα, παιδίον, καὶ κακῶν ἀπαλλαγὲν τῷ θεῷ σοι τὴν εὐχαριστίαν ἀπόνεμε· ἤδη γάρ, ὡς ὁρᾷς, ἐπέστην σοι βοηθός. Καὶ ὃς ἐκ βαθέος ὥσπερ ἐμαυτοῦ γενόμενος ὕπνου κεφαλήν τ' ἀνανεύσας πρὸς τὴν ἀρωγὸν ἐνητένιζον. Οὔπω δὲ μάλα τὴν σώτειραν συνιεὶς, τὴν ζάλην, τοὺς βυθούς, τὰ ὅσον οὔπω ναυάγια, τοὺς ὀλέθρους, πρὸς αὐτὴν ἀνοιμώζων ἐτραγῴδουν πανοίκτιστος. Ἡ δὲ τὸ πένθος οἰκτειρῆσαι δοκοῦσα ταχέως ὑπολαβοῦσα καὶ αὖθις ἀντέφησεν. Οὔ μὰ τόν δε, ὃν ὁρᾷς, ἐμαῖς ὠλέναις ὡς ἐπὶ Χερουβὶμ ἐνθρονιζόμενον, μονογενῆ μοι φίλτατον υἱόν τε καὶ κύριον, τοιόνδ' ὄψει τῇ δε ναυάγιον, οὔ τοι κίνδυνον, ὃν ὑφο-

(1) Ἐν τῷ χειρογράφῳ ἄνωθεν τούτου κεῖται «οὐ μέθης».
(2) Ὡσαύτως «οὐχ ὕπνος». (3) Ὡσαύτως «θεόληπτος».
(4) Ὡσαύτως «πολύ».

ρᾷ, πείσαιο. Ὁρᾷς, ὁρᾷς; πολλάκις σε κινδύνων ἀπήλλαξα. Ἄγε δὴ διανάστηθι καὶ τοῖς μετὰ σοῦ τὴν εὐαγγελίαν κατάγγελε. Μνήσθητι πρὸς ἣν ἡ μήτηρ ἡ σὴ Μαρία πάλαι σε βρέφος ὄντα κατηγγυήσατο. Γειτνιῶσα πατρῴοις οἴκοις σοῖς κόρη Μαριὰμ ὡς μονογενοῦς τοῦδε τόκου μήτηρ καὶ παρθένος ἐγώ εἰμι. Ἐγὼ δ' αὐτίκα, ὦ ἄνδρες, νὴ τήν δε τὴν ὅρασιν, νὴ τοὺς λόγους ἐκείνους, φρίκης ὅλος ὅλως γενόμενος, εἶτα καὶ τὸ λεχθέν τε ξυμβαλὼν καὶ τὸν σωτῆρα ξυνεὶς καὶ τὴν ὀξυτάτην ἀρωγὸν καὶ προστάτιν ἐπιγνοὺς μάλιστα οἷόν τι ἄχθος ἄτερον ἑωρώμην ἄφωνον, ὅμως θείᾳ τῆς παρθένου ἐπιστασίᾳ τὸ ἐνεὸν εἰς αἴσθησιν τότε τρεψάμενος ὑφ' ἡδονῆς οὐκ εἶχον ὅ,τι καὶ γένοιμι. Ἐδεδίουν, ἔτρεμον, ἔχαιρον, εἶτα καὶ χαρωπόν τι προσβλεψάμενος ἐλιτάνευον, ὕμνουν, ἐγέραιρον τὴν σωτηρίας πάροχον, ἐνηυμένιζον καί που θερμότερον θεοκλυτεῖν (1) ἐλομένου μου, ᾗ τάχους εἶχον, ὀμμάτων ἀπέπτη μου καὶ εὐθέως καλῶν αἰσθήσεων γέγονα καὶ πρῶτος εὐάγγελος κήρυξ πρέσβευσιν ἀθλίαν καὶ τῷ ξυνόντι πλήθει γεγένημαι, χεῖρας δ' ἐκρότουν καὶ ὕμνους ἠλάλαζον καὶ θεῷ παιᾶνας καὶ μητρὶ παρθένῳ θαλαττίους ᾄδειν ἐκέλευον. Εἶτα καὶ πυνθάνεσθαί μου ἐρωτικώτερον ἔχοντας ἤδη σαφέστερον ἀνεδίδασκον· οὐδὲ γὰρ ἐκκαέστερον οὕτω ψυχὴν ἀναψῦχον καὶ χαρίζον ταύτῃ ζωῆς φίλης ζώπυρον τοῖς ἐξ ᾅδου τοιούτου χαλεπωτάτου ἀναγομένοις ἐτύγχανεν ὡς τὸ πυθέσθαι τὸ παρὸν σαφεστέρως καὶ τὴν τούτου ἀναμανθάνειν ἐνάργειαν. Διά τοι τοῦτο πάντα τούτοις σαφῶς διηγόρευον, τὴν ἔκστασιν, τὴν ὅρασιν, τὴν τῆς κόρης ἐπιστασίαν, τὴν Ἰησοῦ γε μετ' αὐτῆς μητρὸς παρουσίαν, τοὺς λόγους, τὰ εἴδεα, τὰ λύτρα, τὰ σώτειρα καὶ ἁπλῶς πᾶσαν αὐτοῖς ὑπ' ἀληθείᾳ σαφεῖ τὴν σωτηρίαν δεδήλωκα εἰδώς, ὡς οὐκ ἄρα μικροῦ τινος ψόγου παρὰ θεοῦ οἱ τὰ τοῦ θεοῦ μεγαλουργήματα τοῖς ἀνθρώποις γιγνόμενα κρύπτοντες παρ' ἑαυτοῖς τυχεῖν μέλλοιεν. Ἐπεί τοι γε καὶ μυστήρια βασιλέως καλὸν παρὰ τῇ θείᾳ κρύπτειν φάναι γραφῇ, τὰ δ' ἔργα τοῦ θεοῦ ἀναγγέλλειν πᾶσιν ἔνδοξον.

(1) Ἄνωθεν «εὔχεσθαι».



Ἀμέλει καὶ τῆς εὐαγγέλου ταύτης χαρᾶς ᾀδομένης ἡ θάλασσα ὥσπερ ἀπὸ μέθης βαθείας ἐκνήψασα ἤδη πραέσι τοῖς κύμασι τῇ νηῒ καὶ ἡμῖν κατεσπένδετο, ἥλιός τε ἐξ ἀκρωρείας ἠόθεν γλυκὺ προσεγέλασε καὶ λαμπρὸν εἰσβάλλει γαληνὸν τὸ ῥεῖθρον καὶ τὰς ἡμετέρας ὄψεις τὰς ἀκτῖνας ἄνωθεν καὶ ἤπειρος ἡμῖν ἰκριόθεν ποθὲν ἀνεδέδεικτο, μὴν δὲ παρέθεε τότε ὁ παρ' Αἰγυπτίοις Φαρμουθί (1), ἡ δὲ ἤπειρος αὕτη Λιβύης μὲν κατιώτερον (2) κεῖται, Ἄφρων δὲ Καρχηδονίοις ἑσπερόθεν ἠπείρωται. Ἄραψιν εἴτουν Αἰθίοψιν χῶρος αὕτη κεκλήρωται αὐτονόμοις καὶ βοσκηματώδεσι καὶ θηριοτρόφοις τὰ πολλά, εἴ γε Διονυσίῳ τῷ πάλαι γεωγράφῳ τοῦτο δοκεῖ φάσκοντι οὑτωσί· «Κείνοις δ' οὔποτε τερπνὸς ἀκούεται ὁλκὸς ἁμάξης, οὐδὲ βοῶν μυκηθμὸς ἐς αὔλιον ἐρχομενάων· ἀλλ' αὔτως ἅτε θῆρες ἀνὰ δρία βουκολέονται νήϊδες ἀσταχύων καὶ ἀπευθέες ἀμήτοιο». Ταύτῃ τοίνυν καὶ ἄκοντες τὸ πλοῖον δεῖν προσορμίζειν ᾠήθημεν, εἴγε καὶ λιμένες σαφεῖς οὐχ εὑρέσθαι ῥᾳδίως πᾶσι λόγος ᾑρεῖτο· ἀκταὶ γὰρ ὅλη ἡ ἠϊὼν καὶ βραχώδης ἐδόκει πόρρωθεν οὖσα, οὐδὲ γὰρ ἄγχου πελαζειν ἠθέλομεν διὰ τὸ ξυνῳκηκέναι τοῖς βαρβάροις τὸν χῶρον ὅλον ἐκεῖνον ἔθνος ὡς μυρίον ὄντας αὐτόνομον. Ἀλλὰ γὰρ τοῦ θεοῦ καὶ πάλιν τὰ σωτήρια διὰ θεοτόκου ἡμῖν πρυτανεύοντος οὔπω τέτταρες ὅλαι παρῆλθον ἡμέραι καὶ ζεφύρου γαληνόν τε καὶ ἡδύ τι πνεύσαντος ἔξιμεν καὶ παλιμπόρευτοι δὴ τεταρταῖοι τὴν τοῦ Μακεδόνος πόλιν πάλιν εἱλόμεθα, ἔνθα καὶ αὖθις ἀρχηγὸς ὁ Ἀράβων δεξιοῦται μάλα καλῶς μηνύει τε παραχρῆμα τῷ διαδόχῳ τοῦ Φαραὼ βασιλεῖ καὶ δεξιῶν ἡμᾶς ἀνακτᾶται τῆς ἅλμης, τιμωρεῖται δὲ καὶ τὸν ναυηγὸν ἔθει νόμου τοῖς Ἄραψι τοῦτο μόνον εὐνομοῦσιν ἐς ἄμεινον· ἀνακρίναντες γὰρ εὗρον τὸ πλοῖον αὐτοῦ παλαιὸν καὶ ὑπὲρ τὰς πορείας ἀχρήσιμον. Τοῦτον τοίνυν τὸν τρόπον καὶ πάλιν εἶχεν ἡμᾶς Ἀλεξάνδρεια, τετραμηνιαῖον δὲ διαβιβάσαντες χρόνον ἐκεῖθεν ἀπαίρομεν ἑτέρα νηῒ μεγίστῃ τε καὶ καινῇ, ἐν ᾗ καὶ θεῷ ἐπευξάμενοι τὴν βασιλίδα πόλιν καταλαμβάνομεν οὐρίῳ πάντῃ τῷ πνεύματι.

(1) Ἄνωθεν «Ἀπρίλιος». (2) Μήτι «νοτιώτερον»;

Οὕτω τοίνυν διασωθέντας οἱ προσήκοντες θεασάμενοι χερσί τε χεῖρας ἐπέβαλλον, περιειλίττοντο, περιεπτύσσοντο, ἐφίλουν καὶ θερμὰ ὑφ' ἡδονῆς ἠφίουν δάκρυα, τῷ σωτῆρι ἄσμενοι ὕμνον ἀνέπεμπον, τῇ θεοτόκῳ εὐχαριστηρίους ἀνῇδον ᾠδάς, τὰ δαυϊτικὰ προσφόρως ἐπῇδον ἀσμενίζοντες ᾄσματα, χαρᾶς ἐπληρούμεθα πάντες καὶ τῷ θεῷ καὶ τῇ τούτου πανάγνῳ μητρὶ τὴν προσκύνησιν ἐν τοῖς ἱεροῖς οἴκοις μάλ' ἐποιούμεθα. Ἓν δὲ μόνον μέσῳ τοσαύτης ἡδονῆς λύπην ἡμῖν προὐξένησεν, ὅτι οὐ ζῶσαν ἔτι τὴν φιλτάτην μητέρα πεφθάκαμεν· προαπεληλύθει γὰρ πρὸς ὃν ἐξόχως ἤρα θεόν. Ἤδη δὲ καὶ νοσοῦσαν καὶ τὸ ἀγγελικὸν μεταμφιασθεῖσαν θειότατον ἄμφιον μὴ πρίν γε πνεῦσαι θεοκλυτοῦσαν μεμαθήκαμεν ὅλως τὰ λοίσθια ἢ αὐτὸν ἐμέ τε θεάσασθαι καὶ περιβαλέσθαι ὄψιν καὶ περιπτύξασθαι ἢ ἐμὰ γράμματα τοῦ φιλτάτου τοὐλάχιστον ἰδεῖν καὶ ἀσπάσασθαι. Ταῦτα προσευχομένῃ μητρὶ φιλτάτῃ καὶ δεομένῃ τῆς θεομήτορος καὶ παρὰ πόδας ταύτῃ τοῦτο ξυνέβαινε· χειρὸς γὰρ ἐμῆς Ἀραβιόθεν γράμματα, γῆς αὐτῶν ἐξ ἀβύσσων, παρ' ἐλπίδα πᾶσαν τὴν Κωνσταντίνου πόλιν ἐφίκανε καὶ τῇ μητρὶ τὸ τάχος ἐνεχειρίζετο, οἷς ἐνιδοῦσα τούς τε τύπους καὶ ἃ διελάμβανον ἀναγνοῦσα καὶ περιπτυξαμένη καὶ ἀσπασαμένη καὶ δακρύων κρουνοὺς ἐπιχύσασα, εἶτα καὶ ἡδέως καταφιλήσασα τούτοις ξυναπαίρει πρὸς κύριον πολλὰ τῷ θεῷ πρότερον ἐπευξαμένη καὶ τῇ θεομήτορι καὶ πλεῖστα εὐχαριστήσασα, εἶτα καὶ ἑαυτῇ ξυνενταφιασθῆναι ταῦτ' ἐπισκήπτει τὰ γράμματα. Ἀμέλει καὶ ἀκάθεκτόν μοι ἔτι ἐτύγχανε περιεῖναι μετὰ ταῦτα τῇ πατρῴᾳ οἰκίᾳ πολλὰ τοῦ μεγάλου μοι καὶ φιλτάτου συγγόνου πρὸς ταῦτα ἐπαγωγὰ χρησαμένου διαμένειν ὥστε καὶ ξυνεῖναι τούτῳ ἀεί· λύπη γάρ με οὐ μικρά τις νὴ τοὺς λόγους, ὦ φίλτατοι, σφόδρα ἠνία διὰ τὴν τοκέων ἐρημίαν ἔνδον κατεφιζάνουσα. Εἴξαντα δ' ὅμως ταῖς ἀδελφοῦ παρακλήσεσι καὶ καιρόν τινα οὐ βραχὺν τούτῳ προσμείναντα νόσος ἐλάμβανε δεινοτάτη, ἣ δ' ἦν ὑπ' ἀκέστορσι διαιτωμένη τοῖς κρείττοσιν. Ἦν οὖν ἰδέσθαι τῶν προτέρων τὸ πάθος οὐκ ἔλαττον· μικροῦ γὰρ καὶ ἀπηγορεύμεθα καὶ τοῖς ἐσχάτοις συναπετρέχομεν. Ἐντεῦθεν λάβροι πυρετοὶ καὶ κράνους δοῦποι βαρύτατοι, κροτάφων ἔτι καὶ βλεφάρων περιωδυνίαι σφοδραὶ παρετείνοντο καὶ τὸ νόσημα δυσκατόρθωτον. Ἐντεῦθεν πεῖραι Ἀσκληπιάδειοι καὶ ἄκος ἦν ἰδέσθαι οὐδέν· ἡμέραι συχναὶ παρεῤῥύοντο καὶ ὀδύνη μᾶλλον ἠπείγετο χαλεπὴ καὶ μικροῦ πᾶσαν θεραπείαν ἀπολέγουσα τεχνικήν. Ἐπειδὴ δὲ οὕτως ἑώρα ἐπὶ τὸ χεῖρον μᾶλλον προκόπτοντι ἡ παρθένος ἐφίσταται, πελάζει μοι πάλιν ὡς σύνηθες, παρίσταταί μοι τῇ κεφαλῇ, ὁρᾷ προσηνῶς, προσφωνεῖ μελιχρῶς καὶ ἀνακαλεῖται πάλιν πρὸς ὄνομα. Ἦν δέ μοι φανεῖσα νὴ τὴν ὄντως ἀλήθειαν τὸ θεοστιβὲς ἐκεῖνο καὶ θεόδεκτον σεμνῶς ἐνειμένη πάλιν χιτώνιον. Καὶ ὃς ὀξέως πρὸς αὐτὴν ἐνητένιζον, χερσὶ δ' ἀχράντοις ἐνορῶ βρέφος τὸν θεὸν αὐτῆς ὑπανεχόμενον καὶ συνήθως ἀνεμιμνησκόμην τοῦ θαύματος καὶ ἱκετηρίους μάλα φωνὰς ἠφίουν αὐτῇ. Ἤτουν τὴν θεραπείαν ὕπαρ ὡς σύνηθες καί, ὦ θεοῦ μονογενὲς συνάναρχε λόγε καὶ παῖ, ὦ σῶτερ μονογενὲς υἱέ, γεγωνὸν ἀνεκραύγαζον, Μαριὰμ ἀειπαρθένου, φιλάνθρωπε δέσποτα, δέχου μητρὸς σῆς ἱκετείας ὑπέρ γε τῆς ἀσθενείας ἡμῶν. Ἴδε οἵῳ καὶ πάλιν πάθει τετρύχωμαι, θέασαι τὸ στενὸν καὶ πανταχόθεν ἄπορον· τοῖς ἰατροῖς ἀπηγόρευμαι, τῶν φαρμάκων οὐκ ὀνήσιμος ἔτι προσαγωγή· οὐκ ἀκεστόρων χεῖρες εἰς θεραπείαν μοι χρήσιμοι· οὐκ ἀνθρωπίνη χειρουργία μοι τοῦ λοιποῦ ἀκεσώδυνος, παρὰ σοῦ διὰ σοῦ τῆς μητρὸς ἡξάτω τὸ ἔλεος. Ῥήματι νεῦσον καὶ μόνον, ὦ δέσποτα, καὶ τῆς κλίνης ἀναπηδήσομαι· συκίνη πᾶσα ἡ τῶν ἀνθρώπων βοήθεια ἔστιν ἐπικουρία· κέλευσον καὶ θάνατον καταφρονήσομαι· τὴν Ἰαείρου μιμήσομαι θυγατέρα, ἔτι καὶ υἱὸν τὸν ἑκατοντάρχειον καὶ Λαζάρῳ τὰ ὅμοια πάθοιμι. Ἀλλὰ μὴ μνησθῇς ἐμῶν παιδιῶν καὶ ἀνομίας ἐμῆς βρεφικῆς, εὔσπλαγχνε κύριε· σὺ γὰρ εἶπας σωτὴρ ὁ φιλάνθρωπος τοῖς ἐρχομένοις διὰ μετανοίας μοι οὐ μὴ μνησθῶ ἀρχαίων ἀνομιῶν· σή ἐστιν αὕτη ἡ σωτήριος ῥῆσις, ἀγαθὲ ἀνεξίκακε, καὶ σοῦ δέομαι ἁμαρτίας νεότητός μοι καὶ ἀγνοίας μου μὴ μνησθῇς, κύριε· ἤδη βεβάρημαι νόσῳ καὶ λέγω οὔ τι....(1)

Τὸν μέγαν ἀθλητὴν σοι καὶ μάρτυρα προβάλλομαι τοῦ πά-

---

(1) Ἐξήλειπται μία λέξις.

SISMANOGLIO MEGARO

θους τοῦδε μάρτυρα καὶ πρεσβευτὴν Καππαδόκην Γεώργιον· Γεώργιος οὗτος οἶδε ὅσῳ χαλεπῷ περιπέπτωκα πτώματι. Ταῦτα σὺν δάκρυσι πρὸς τὸν δεσπότην φθεγγόμενος δυσωποῦσαν ὁρῶ τοῦ θεοῦ τὴν μητέρα, τὸν δ᾽ ἀπαναίνεσθαι θέλοντα μητρικαῖς ἐπεῖχεν ὅμως δεήσεσιν. Ἤδη δὲ τῇ ἀγαθῇ τοῦ ἀγαθοῦ υἱοῦ ἐπινεύσαντος τὴν θεραπείαν ἡ παρθένος χαρίζεται. Οὐδ᾽ ὁ Καππαδόκης ἦν ἀθλητὴς ἀληθείας τῆς πρεσβείας ἀπολειπόμενος, ἀλλ᾽ ἡ παρθένος Μαριὰμ καὶ δέσποινα ξυνήθως τὰς ἀρωγὰς ἐπεβράβευεν. Ταῦτ᾽ ἐπειποῦσα πρὸς τῷ τέλει καὶ μόνον καὶ ἀποπτᾶσα ῥιπῆς ὀμμάτων ὀξύτερον. Ἀνδρέα, ἔχου τῆς ἐγγύης, ἣν κατηγγύησαι καὶ κυρίου τοῦ θεοῦ σου μνημόνευε πάντοτε καὶ Γεωργίῳ τῷ μάρτυρι πρόσκεισο. Ταῦτα τοίνυν τῷ νῷ βαλλόμενος ὡς ἑαυτοῦ ἤδη τε καὶ γενόμενος, πάλαι γὰρ ὕπτιον ὡς ἄψυχον ἐπικλίνιόν τι ἄχθος πεφόρημαι, τὰ εἰκότα τῷ σωτῆρι τῆς εὐχαριστίας ἀνέπεμπον καὶ τῷ θεῷ τοὺς ὕμνους ἀνέφερον, ηὐχαρίστουν δὲ μάλα καὶ Γεωργίῳ τῷ χριστομάρτυρι τῷ μαρτύρων ὄντως ἐγκαλλωπίσματι καὶ τὸ ταχὺ τῆς βοηθείας ἐγέραιρον καὶ μάλισθ᾽ ὅτι καιρῷ προσῆλθε προσήκοντι· πάλαι γὰρ παιδίον τυγχάνον με καὶ νοσῆσαν ἐνίοτε Γεωργίῳ ἡ μήτηρ ἡ ἐμὴ προσφέρει τῷ καλλιμάρτυρι καὶ παραχρῆμα ὑγιαῖνον ἀνείλετο. Τούτου μνησθεὶς ὁ θαυμάσιος ἀθλητὴς ἀληθείας, ὁ τῶν ἀνακαλουμένων ὀξύτατος πρόμαχος, ἑῷας ἀνέσπερος ἥλιος, οἰκουμένης ἁπάσης γίγας ἀκάμας ἄλλος ὑπέρμαχος, ἄλλος ξένος παντάπασιν, αὐτὸς ὕπαρ με πέπεικε θεῷ ἀνακαλέσασθαι αὐτὸν μάρτυρα καὶ θεόθεν τὰ βελτίω πιστώσασθαι. Οὕτως εἶχε καὶ τῆς χαλεπῆς ἀῤῥωστίας ἀπήλλαγμαι. Τί σοι πρὸς ταῦτα, ὦ πανσθενές, προσενέγκοιμι ἄποινα; τί σοι τῇ μητρὶ τοῦ κυρίου προσφέρω ἐπάξιον; οὐ σθένω τὸ σύνολον, λόγῳ μόνῳ ἀνυμνῶ σου τὸν ἀνερμήνευτον τόκον καὶ ἄφραστον, τοῦ υἱοῦ σου τὴν ἄφατον δοξολογοῦμεν συγκατάβασιν. Γεωργιόν σοι προσάγω τῇ ἀγαθότητι, τὸν μέγαν ἀθλητὴν καὶ τῆς ἐμῆς ἀσθενείας ἐπίκουρον. Ταῦθ᾽ οὕτως εἶχε καί μοι ῥῶσις ἐφείπετο κάμνοντι· ταῦτα θεοῦ τά τεράστια. Ἐπὶ μὲν ἀπηγορευμένοις νοσήμασιν, ἅπερ Ἀσκληπιαδῶν παῖδες ἀπαγορεύειν κομιδῇ νενομίκασιν, ῥᾷον ἂν ἔπεισι θεὸς ἢ

SISMANOGLIO MEGARO



ῥιπὴ νεύματος θεραπείαν τοῖς κάμνουσι παρεχόμενος· ἐπὶ δ᾽ εὐχερέσιν ἄλλως καὶ ῥᾳδίως ἔντισιν ἐχομένοις τοῦ πράγματος τοὐναντίον ἅπαν σοφῶς ἐξεργάζεται, ἄμφω δ᾽ ἄρα δρᾷ ξυμφερόντως ἀνθρώποις καὶ προσηκόντως μάλα σαφέστατα. Ἀλλὰ ταῦτα μὲν οὕτως.

Ἡμᾶς δὲ ῥωσθέντας ἤδη καὶ καιροῦ παριππεύσαντος μία τῶν Ἰωνίου κόλπου νῆσος ἐδέδεκτο· ταύτῃ Τένεδος τοὔνομα, ἣ δὴ νῆσος ἐστὶ τῶν Κυκλάδων αὕτη πολύολβος, Αἰολίς τε καὶ πολυάρουρος ἅμα τε καὶ πολύοινος καὶ ὡραίων πλήρης τυγχάνουσα καὶ οἴνων μέτρα καὶ ὑδάτων νάουσα ἥδιστα, τἄλλα τε τῶν ἐς χρείαν τοῖς ἀνθρώποις ἔχουσα λόγου κρείττονα. Οἳ δὴ βασιλείῳ θεσπίσματι πρὸς ἀπογραφὴν ἀπεστάλημεν κἀκεῖθεν αὖθις νοσήματι περιπέπτωκα καὶ τὴν συνήθη πάλιν ἀρωγὸν ἀνακέκλημαι καὶ πρὸς θεοῦ δι᾽ αὐτῆς θεραπείας ἀπέλαυον Γεωργίου δή μοι πρεσβεύσαντος· οὔπω γὰρ αὐτοῦ ἐπιλήσομαι. Εἶτα τὴν τάξιν πληρώσαντες ἐπὶ τὴν Κωνσταντίνου πόλιν ἀνήχθημεν ἅμα σὺν ἐπαίνοις τῆς εὐνομίας καὶ χρυσῆν ὁλκάδα κατὰ λόγου κέρδους ἐπισυρόμενοι. Εἶχε τοίνυν ἡμᾶς ἡ χρυσέα πάλιν πατρὶς λογεμπόροις τισὶν ἁμιλλωμένους καὶ τοῖς κρείττοσιν ἑπομένους τὰ μάλιστα. Τὰ δ᾽ ἑξῆς σιωπῆσαι μὲν βούλομαι ἅτε περὶ ἡλίκους καὶ πολλοὺς τοὺς κινδύνους ἐνθάδε γενόμενος καὶ ἀπαριθμεῖν οὐ δυνάμενος, ἄλλως τε ἵνα μὴ καὶ καινὴν τραγῳδίαν ἐμαυτῷ καὶ τοῖς ἐμοῖς ἱστορίαν ταύτην ποιήσαιμι ἢ καὶ δόξαν τινὰ τῆς καρτερίας παρά τισιν ἐμαυτῷ περιγράψαιμι, κενήν φημι μακαρίαν. Ἵνα δὲ καὶ τῷ λόγῳ μὴ ἀφαιρήσωμέν τοι τὰ καιριώτερα καὶ ἵνα μὴ καὶ τοῖς εἰδόσιν ὀφλήσω γέλωτα ὡς ἄρ᾽ ἐντυχοῦσι καὶ εἰδόσι ταῦτα σαφέστατα, ἄλλως τε δὲ καὶ ἵνα τῆς προμάχου μᾶλλον παρὰ πᾶσι δοξασθῇ τὸ φιλάνθρωπον, τὸν ὄκνον ὥσπερ ἀφέμενος τὰ ἑξῆς τῷ λόγῳ προσθήσομαι, ὡς ἂν ᾖ καὶ ἄχρι τέλους ὅλος ὁ λόγος οὗτος ἄρτιος. Εἰ δέ τι παρά τισι καὶ σκάζων ἢ παρεγκλίνων καὶ ὥσπερ ἀναδυόμενος, ποῖ δὲ καὶ μεθοδεύων τὸν λόγον ἔν τισιν ἢ παρατρέχων ἢ παρατρέπων ἢ ἄλλο τι τοιοῦτον πάσχειν δόξοιμι, πρῶτον μὲν συγγνώμην αἰτοῦμαι τῆς οἰκονομίας τῷ

πράγματι, ἔπειτα δὲ καὶ τὴν ὥραν προβαλοῦμαι τοῖς εἰδόσι τὸ δύσερι. Ἀλλὰ τούτων μὲν ἅλις.

Ἡμᾶς δὲ τηνικαῦτα πόθος εἰσῄει θερμὸς ἀφεμένους τὴν Κωνσταντίνου χρυσῆν, τὴν ἐνεγκαμένην, τὴν τροφόν, τὴν λόγου παντός μοι τιθηνὸν καὶ διδάσκαλον, τὸ χρύσεον τοῦ λόγου δάπεδον, τὴν κορωνίδα τῶν Ἀθηνῶν, ἣν καὶ οὐράνιον Ὄλυμπον εἰ φαίη τις ἂν οὐχ ἁμάρτοι, ἀνάκτορον ἄρρητον, Ἱερουσαλὴμ ἄλλην καινὴν ἁγίαν, νέου Ἰσραὴλ ἐνδιαίτημα καὶ κόσμου παντὸς ἱλαστήριον καὶ νοσημάτων παντοίων ἀλεξιτήριον, ἄλλον ἐπίγειον σύμμικτον χῶρον οὐράνιον, ἄλλων ἐνύλων καὶ ἀΰλων ἀγγέλων κατοικητήριον. Ταύτην δὲ τὴν μεγαλόπολιν, τὸ μέγα πᾶσιν ἀφήγημα ὥσπερ ἀπολιπόντες τὴν Τραπεζουντίων πόλιν κατελαμβάνομεν. Ἀμέλει καὶ οὐκ εὐθέως τὸ σκέμμα τοῦτο γενέσθαι μοι νενόμικα· ὑπένυττε γάρ με καὶ λόγος μάλα ξὺν ἄλλοις πολύς, ὡς ἐν Τραπεζοῦντι τῶν ἀστρονομικῶν μαθημάτων βελτίω χρῆσιν εὑρίσκεσθαι, οὐκ Ἀθήναζε, ἀλλὰ Χαλδίηθεν τῇ πόλει τῇδε περιϊοῦσαν τὴν μέθοδον, ἐφ' ᾧ καὶ τὴν τοσαύτην στέλλεσθαι πορείαν ἔρως ἡμᾶς ἀνέπειθε μάλιστα. Τῷ τοι καὶ τοῖς ἱεροῖς προσανέτρεχον καί τισι τῶν μεγάλων ἐκοινώνουν τοῦ σκέμματος καὶ πάλιν βίβλων ἁγίων ἡμῖν ἀναπτύξεις ἱεραὶ καὶ τῶν ἐπισκήψεων χρήσεις εὔθετοι καὶ λύσεις πρὸς πορείαν εὐάγγελοι. Τούτοις τοιγαροῦν πειθαρχήσαντες καὶ προσήκοντας πάντας λαθόντες καὶ τὸν κύριον ὅμαιμον, νηὸς τρεχούσης ἐπιβάντες ἀωρὶ νυκτῶν καὶ θεῷ σωτῆρι καὶ θεομήτορι τὰ οἰκεῖ' ἀναθέμενοι ἅπαντα τοῦ πλοὸς ἀπηρξάμεθα. Διαβάντες γοῦν εὐχερῶς τὸν ἀνάπλουν καὶ τὸν Εὔξεινον παραπλεύσαντες ἐς Ἀμινσὸν διεπεραιώθημεν.

Τοῦ χώρου μέντοι καὶ τῶν ἐκεῖσ' ἐρυμάτων τὴν θέσιν ἠγάμεθα πάνυ καλῶς ἔχουσαν καὶ τὸ δὲ μεῖζον ἀνθρώπων φιλοξένων οὖσαν οἰκήτριαν, ὡς καὶ τῶν θείων Χριστοῦ μαθητῶν τῷ πρωτοκλήτῳ τούτῳ δοκεῖ, ὅτε τὴν γῆν διερχόμενος ὁ μέγας οὗτος Ἀπόστολος τὸν σωτήριον εὐαγγελικῶς εἰπεῖν ἀνεκήρυττε λόγον καὶ τοῖς ἀνθρώποις τῇδε παρέβαλλεν. Ἀλλ' ἡμεῖς γε διὰ βραχέων ἐκεῖθεν ἀπάραντες ἄχρι Πλατάνων ἀνήχθημεν



ἐκεῖσε μικρὸν προσορμίσαντες, λιμὴν δὲ ὁ χῶρος οὗτος Τραπεζουντίοις καὶ λιμένων παρ' αὐτοῖς ὁ στεῤῥότατος· ὄνομα τῷ λιμένι Πλάτανοι σταδίων ὡς ἑξήκοντα σὺν ἁπλοῖς τέτρασιν ἐχομένῳ τῆς πόλεως· κἀκεῖθεν ἐν Δάφναις κατήρομεν καὶ τῇδε ὡρμίσθημεν, λιμὴν δὲ τῇ πόλει Τραπεζουντίων αἱ Δάφναι ἀγχίθυρος. Μὴν δὲ τηνικαῦτα παρέθει Παχὼν ὁ μετὰ Ταῦρον ἐαρινώτατος. Τῆς χέρσου τοίνυν ἐπιβὰς θεῷ σωτῆρι τὴν εὐχαριστίαν ἀπένεμον. Ἐπεὶ δὲ καὶ πρὸς ἑσπέραν ὁ ὁρίζων κατήπειγεν ἐπιξενούμεθά τινι τῶν ἀστικῶν πρεσβυτέρῳ οὐ πόῤῥῳ τῆς ἠϊόνος τυγχάνοντι. Ἕωθεν δὲ διαναστάντες μετὰ τὰς ἑωθινὰς δοξολογίας ἔνδον τῆς πόλεως εἰσεληλύθαμεν, ὑφ' ἧς καὶ ἀσμένως ἄγαν δεδέγμεθα. Κἀκ πρώτης ὅ φασιν ἀφετηρίας τῷ τῆς πόλεως ἀρχιερεῖ προσανήχθημεν καὶ δοχῆς ὅτι μείζονος καὶ τιμῆς παρ' αὐτῷ ἠξιώμεθα κρείττονος· δι' αἰδοῦς γὰρ ἦγεν ἡμᾶς καὶ δοχῆς ὅτι πολλῆς ὁ μακάριος. Γρηγόριος δ' ἦν οὗτος ὁ καλὸς ἀρχιποίμην ὁ μετὰ Βαρνάβαν διάδοχος, ὅς καὶ λόγους φιλῶν ὑπερεφίλει μᾶλλον τοὺς λόγοις προσήκοντας ὁ θαυμάσιος· ὅς καὶ παρ' ἑαυτῷ σὺν αἰδοῖ τε πολλῇ ἐπιμένειν ἡμᾶς ἀξιούμενος ᾔτει καὶ πάνθ' ὑπισχνούμενος τὰ βελτίω καὶ χρυσᾶς ἐπαγγελλόμενος τῇ μονίᾳ ἐπιθεῖναι τὰς ἀντιδόσεις οὐκ ἔληγε κἂν οὐκ ἐπινεύοντας ἑώρα τῷ ἀξιώματι· οἴκαδε γὰρ εἶχέ με τάχει παλινοστῆσαι μετὰ τὴν θεωρίαν καὶ τὴν τοῦ ζητουμένου μετάληψιν ἔρως νὴ τοὺς λόγους, ὦ ἄνδρες, καὶ τὴν φίλην ἀλήθειαν. Τοῦτο δέ μοι προσῆν οὐχ ὡς παρὰ τὸ δοκοῦν ἡ πόλις αὕτη καὶ οἱ ἐξ αὐτῆς ὡράθησαν ἄνθρωποι· εὐσεβείας γάρ εἰσι καὶ ξενίας κυήματα. Καὶ ἡ πόλις θέσεως ἔτι χρηστῆς· αὕτη γὰρ τῶν πρὸς ἕω ἡλίῳ πόλις μάλ' ἀνίσχοντι Κολχικὴ τῶν προποντίδων ἀμείνων, περιωνύμου τε κλήσεως ἄνωθεν εὐμοιροῦσα πολλῆς ὡς θέσεως εὖ ἔχουσά τε καὶ ὄψεως καὶ τῶν ἐς χρείαν πάντων ἀνθρώποις ἅμα καὶ κτήνεσι δαψιλὴς χορηγὸς εἰσάπαν τυγχάνουσα, ὅτι καὶ ἠπειρώταις μὲν ὡς χαλκέοις τοῖς τείχεσιν ἁδρότατον δέος ποιεῖται καὶ θέσει τόπου καὶ εὐρείαις δηλονότι τάφροις καὶ ταῖς ἄλλαις ἐπάλξεσι, τοῖς δέ γε αὐτόχθοσι καὶ ἐπήλυσι καὶ τοῖς ἐμπόροις εὐχερῆ δαψιλεύει τὰ ὤνια εὐκρασίας ἀέρων μετέχουσα καὶ ἡδέων ναμάτων κρου-

SISMANOGLIO MEGARO

νηδὸν ποταμοὺς διπλῇ πελαγίζουσα. Τίς οὐκ οἶδε τοὺς Διονύσους ταύτης καὶ τὰ τούτων ἡδύτατα νάματα καὶ τῶν ὑδάτων τὰ διειδέστατα; ὅθεν καὶ βρύει μὲν πόαν ὁ χῶρος παντοίαν, κομᾷ δὲ μυρίοις εὐανθέσι τοῖς ἄνθεσι καὶ καρποῖς ἐπιβρίθει καὶ ταῖς ἐναλλαγαῖς τῶν ἀνθέων δαψιλῶς ὡραΐζεται, εἶτα καὶ παρ' ἠϊόσιν ὑπτίαις μάλα στεφανοῦται ψαμμώδεσι. Ταύτῃ τοι καὶ μετά τινα καιρὸν οὐ πάνυ βραχὺν τοῖς ἐν τέλει τελέως προσηταιρίσμεθα καὶ οὐ μαλακόν τι καὶ ὑφειμένον, ἀλλὰ καὶ λίαν στεῤῥῶς καὶ ὑπερκειμένως. Ἐντεῦθεν καὶ τοῖς κρατοῦσι ξυνήθεις κατέστημεν καὶ λίαν ᾠκειώμεθά τε καὶ πεφιλήμεθα οὐμενουν ἀγνοούμενοι πρότερον· πάλαι γὰρ ὄντι ἐν τῇ βασιλίδι τῶν πόλεων κἀκεῖ τὰς διατριβὰς ποιουμένῳ τῷ Τραπεζοῦντος ἀνάσσοντι προσηταιρίσθημεν, ἀπέστω φθόνος καὶ φόβος βαλλέσθω πόῤῥω, καὶ ξυνήθεις τούτῳ ἀῤῥήκτοις φιλίας νόμοις γεγόναμεν. Βασίλειος δ' ἦν οὗτος, ὁ τοῦ μεγάλου Ἀλεξίου υἱὸς μέγας Κομνηνὸς ὁ ἀείμνηστος. Τούτων δὲ οὕτως ἐχόντων, ὦ ἄνδρες, τὴν ἐς πατρίδα πάλιν ἐπάνοδον ἐποθοῦμεν καὶ κέντρον ἦν μοι διὰ παντὸς ὁ τοῦδε πόθος ἀέναον. Ὅθεν καὶ πρέσβεις τοῖς κρατοῦσι πολλάκις ἀπέστελλον δι' αὐτῶν ἀπαλλαγῆναι ζητῶν κἂν ἥκιστα τὴν ἔφεσιν ἤνυον. Ἀλλ' ἡμῖν μὲν τὸ ἐξ ἐφέσεως οὕτω ξυνεχῶς ἐσπουδάζετο καὶ αἴτησις ἦν ἁπασῶν οὐ τυχοῦσα τῷ ἀνεθῆναι καὶ ἀπελθεῖν. Ἄλλως δ' ὡς ἔοικε τῇ προνοίᾳ ἦν ὡρισμένον κρεῖττόν τι περὶ ἡμᾶς κρίμασιν οἷς οἶδεν ἀῤῥήτοις τοῦ θεοῦ προβλεπομένου, οἶμαι, παντάπασιν εἴτε τῶν οἰκείων ἀπαλλάξαι δηλονότι καὶ τῆς τοῦ γένους ἡδύτητος ὡς ἐμοί γ' οὖν δοκεῖν θέλοντος καὶ τῇ ξένῃ ξυνῳκηκέναι καὶ τῶν ταύτης ἀνιαρῶν ἐμφορεῖσθαι οἷά τινα τῶν ἀσήμων πάντῃ καὶ μικρωνύμων πόλεων ἐσχηκότας πατρίδα καὶ τῶν προσηκόντων ἐστερημένους καὶ ἀνεστίους ὁμοῦ καὶ ἀπόλιδας καὶ μηδὲν περὶ γῆν κεκτημένους καὶ διὰ τοῦτο ἐῤῥίφθαι καὶ ἁπλῶς ταπεινοῦσθαι καὶ πάσχειν καὶ ἐπ' ἀγαθῷ θεῷ μόνῳ πεποιθέναι καὶ θεομήτορι, εἴτε τινὶ ἀῤῥήτῳ οἰκονομίᾳ, ἄλλῃ προνοίᾳ πολλῷ κρειττοτέρᾳ τε καὶ θειοτέρᾳ τὰ ἡμέτερα διιθύνοντος, ὡς ἅπασιν ἀεὶ τοῖς πιστεύουσιν οἰκονομοῦντος ἑνὶ ἑκάστῳ τὰ πρόσφορα καὶ κοινῇ καὶ ἰδίᾳ λόγοις ἀῤῥήτοις αὐτοῦ τῆς φιλαν-

SISMANOGLIO MEGARO



θρώπου θεότητος, εἰδότος ἴσως, ὡς εἰ τοῖς οἴκοι καὶ τοῖς πατρῴοις ἀγοίμεθα, ἐπὶ τὸ χεῖρον προβαίημεν ἂν ἢ ψυχὴν τῶν ἀγαθῶν ἐρημώσαντες ἢ βίον ἀπολωλότες δηλονότι δεινῶς. Εἰ μέντοι δυοῖν τοῦτ' ἦν θάτερον, οἰκονομία τις ἄῤῥητος πάντως περὶ ἡμᾶς τῷ θεῷ τῆς ἀφάτου προνοίας τουτὶ τῷ ἀενάως ἑκάστοις ἀνθρώπων τὸ λυσιτελὲς δωρουμένῳ, ᾧ δὴ καὶ ὕμνος ἀεὶ καὶ προσκύνησις μόνῳ τῷ τρισαγίῳ πρέπει τοῖς αἰῶσι τῶν ἀϊδίων αἰώνων.

Ἀλλ' ἀναγκαῖον ἀνακεφαλαιῶσαι τὴν ἱστορίαν καὶ μηδὲν καθυφεῖναι τῶν ἀναγκαίων. Ἀμέλει καὶ ἦμεν ἔτι καὶ ἄκοντες τὴν Τραπεζουντίων ὁρῶντες καὶ τῶν ἡδέων ἐπαπολαύοντες, τῆς δ' ἐνεγκαμένης οὐμενουν ἐπιλανθανόμενοι. Τῷ τοι καὶ τοῖς ἐν τέλει προσηταιρίσμεθα, ὥσπερ καὶ ἀνωτέρω μοι λέλεκται, καὶ δι' αἰδοῦς ἠγόμεθα μάλα πολλῆς καὶ φιλίας ἡμῖν ἐκοινώνουν οὗτοι καὶ δεξιώσεως, ἐῤῥέτω φθόνος, ἅμα καὶ τιμῆς τε ἀνακτορικῆς ἀπελαύομεν, εἰρήσεται γὰρ τἀληθῆ, καὶ χρήσεως τοῖς κρατοῦσιν ἦμεν ἐντεῦθεν αἴτιοι. Βούλομαι μὲν οὖν σιωπῇ τὰ ἑξῆς παραπέμψαι μὴ ἐνείρειν ἐθέλων τοῖς πρόσω θἠμέτερα, ὦ βέλτιστοι· ἀλλ' ἐπειδὴ χωρὶς τούτων ἀκολούθως εἰ λέγοιμι, οὐδὲ ἐκπεραίνειν ἀληθείᾳ τὸν λόγον δειξαίμεθα, φέρε τὰ ἑξῆς ὡς οἷόν τε τῷ λόγῳ προσάψωμεν.

Ἐπεὶ γὰρ ἀληθείᾳ καθάπαξ τὴν ἱστορίαν πᾶσαν ἐφέπεσθαι προεπηγγειλάμεθα, γυμναῖς αὐταῖς ἀληθείαις ὅση δύναμις ταύτης ἐχώμεθα. Εὐροοῦσι τοίνυν καὶ καλῶς ἔχουσι περὶ τῇδε φθάνει τελευτὴ Κομνηνοῦ Βασιλείου δεινὸν ἐπελθοῦσα οἷά τις συμφορῶν κυκεὼν καὶ ὀλέθρων Αἰγυπτίων πληγαῖς ἄλλη δεκάπληγος μεῖζον ἡμῖν βαρυτέρα τῆς εὐδαιμονίας ἡμῖν καὶ τῇ πόλει τοῦ βασκάνου διαφθονήσαντος. Ἄρτι γὰρ ἐκείνου πρὸς θεὸν μεταστάντος ἡμῖν καὶ ἀμφοῖν τὰ δεινὰ τῶν κακῶν ἐπεισέφρησεν· οὔπω γὰρ τὸ πένθος ἐλώφησε, καὶ ἡ τῶν ἐν τέλει ἄστατος ἔρις, οἴμοι, καθ' ἑαυτῶν ἀνηγείρετο, πρᾶγμά τι πᾶσιν ἀνθρώποις ἀῤῥήτου θείας ἐκτὸς προνοίας λύειν ἀμήχανον. Τοῦτο τοίνυν οὕτως ἔχον εἰδὼς καὶ ὡς ἐπὶ κακῷ τὰ παρόντα τῇδ' ἐπιῤῥεύσει κατὰ νοῦν γε βαλλόμενος ἀπαίρειν τῆσδε κατήπειγμαι πάσῃ χρώμενος πείρᾳ, πάντα δηλονότι τῷ λόγῳ κι-

νούμενος κάλων καὶ οὐδ'οὕτως ἀπήλλαγμαι. Μέσος τοίνυν ἐναπολειφθεὶς ξυμφορῶν οὐκ εἶχον ὅ,τι καὶ γένοιμι, ἐδεόμην δὲ τοῦ θεοῦ μάλα καὶ θερμὸν ἠντιβόλουν διὰ τῆς θεομήτορς ἀπαλλαγῆναι τῶν δυσχερῶν. 'Αλλ' εἰ ἐκκακοίημεν ἁμωςγέπως ἐπὶ μυρίαις ταῖς συμφοραῖς, ὑπό γε προνοίας πάλιν ἀνείμεθα. Τίς τοίνυν ἑώρακε τῶν ἀστικῶν καὶ ἐπηλύδων τότε τὸν ἐμφύλιον πόλεμον καὶ ἀδακρυτὶ παρῆλθε τὴν ἀνάγκην τοῦ πτώματος; ἣν δὴ κατ' ἀλλήλων ἐμφύλων ὁμοῦ καὶ πιστῶν τῷ θεῷ μοῖρά τις τῶν κακῶν ἐσχεδίασε καὶ τοῦτο ξυνέβαινε τῶν ἐν τέλει μᾶλλον τοῖς προὔχουσι. Τίς τὴν συμφορὰν οὐκ ἐπένθησεν; ἢ τίς ἰδὼν ἢ ἀκούσας καὶ μαθὼν τὸ μύσος τῆς ἀλληλοφονίας οὐ θρηνῶν ἀνῳμώξατο; Οἶδεν Εὐγενίου καλλινίκου μονὴ ταῦτα τοῦ μάρτυρος καὶ οἱ τὸν Εὔξεινον τουτονὶ Κόλχον ἁπλῶς ναιετάοντες ἄνθρωποι, ὥς τι φάναι κατ' ἔπος, τῷ γεγονέναι πᾶσι ταῦτα περίπυστα. Ἔγωγε δ' οὖν καὶ ταύτης εἴσω τότε τυχὼν τῆς ἀνάγκης ἑάλων, οἴμοι, καὶ τῆς πείρας ἔργον γεγένημαι, ὅτι περ ἐν μέρει θεσμοῖς φιλίας προσηταιρικῶς τοῖς πεπτωκόσι πεφώραμαι· πάλαι γὰρ τοῖςδε νόμῳ φιλίας ἀληθοῦς συνέῤῥαμμαι ἥκιστα σκαιὰ φάσκουσιν, ὡς ἐγῷμαι, εἰρήσεται γὰρ τἀληθῆ. Ὅθεν καὶ διώκταις ἠπείλημαι μάλ' οὐκ ἀγαθῶς καὶ τούτοις δ' οὐσίαν μὲν πᾶσαν ἀφῄρημαι, ὕβρεως δὲ καὶ πλησίον κατήντηκα νὴ τοὺς λόγους, ὦ φίλτατοι, μηδὲν ἥκιστα ξυνεγνωκὼς ἐμαυτῷ δράσαντι δεινόν, εἰδέναι δὲ καὶ μάλιστα πεποιθὼς τοὺς περιϊόντας, ὡς εὐθυδικίας χάριν ὀρθῆς ἦν τουτὶ τὸ κακόν. Μάρτυρα δέ σοι τἀγαθῷ δεσπότῃ τῆς τοσαύτης προὐβαλλόμην αἰτίας, ὦ πανδερκὲς ὕψιστε, Εὐγένιον τὸν ἐν μάρτυσι περιβόητον μάρτυρα. Εἶτα καὶ ὦ βοηθὲ τοῖς ἠδικημένοις διωλύγιον ἔκραζον, Εὐγένιε κύδιστε. Σὺ πάντως οἶδας μάρτυς ἀληθείας τὸ δίκαιον· σὺ μεμέτρηκας τὰ ἡμέτερα ὡς παρὰ σοὶ πεπραγμένα σαφέστερον καὶ σὲ δυσωποῦμεν ἀνενεγκεῖν ταυτὶ τῷ δεσπότῃ καὶ μὴ λήθης βυθοῖς παραδοῦναι θελήσειας. Φάνηθι τῶν ὀδυνῶν μοι νῦν ἡ συνήθης εὐεργέτις ἅμα καὶ πρόμαχος, τὸ ἀκεσώδυνον φάρμακον, τῶν μακρῶν ξυμφορῶν ἡ ταχυτάτη ἀντίληψις, καὶ τούτοις ἐνασμενίζων οὐκ ἔληγον ἄχρι καὶ τῶν μετὰ χεῖρας πειρασμῶν ἀπολέλυμαι. 'Εκ-

SISMANOGLIO MEGARO



βολαὶ δὲ ἦσαν 'Επιφὶ καλανδῶν ἡμερῶν δεινοτάτων, ὅτε ταῦτά μοι γέγονεν ἀρχῆθεν τοῦ μηνὸς τοῦδε ἀρξάμενα. 'Αλλ' οὐδ' οὕτω τῆς ἀπολύσεως πεπαῦσθαί μοι γέγονε, οὐδ' ἐφησύχασα ταῖς προτεραίαις κωλύσεσιν, ἀλλά γε καὶ πάλιν πρέσβεις δεξιούμενος τοῖς κρατοῦσιν ἀπέστελλον, ἐδυσώπουν, ἵν' ἀπαλλαγείην τάχος ἐς ἴδια, ἀλλὰ κατὰ πετρῶν καὶ οὕτω σπείρειν ἐδόκουν, ὦ ἄνδρες, καὶ τετρημένῳ πίθῳ ἐπαντλεῖν καὶ κωφῷ ψιθυρίζειν καὶ τυφλῷ διανεύειν καὶ μυρίζειν νεκροὺς ἐς τὰ μάλιστα. Τί δὲ τὸ ἐπὶ τούτοις; ἄλλη φθορά τις ἧκε τῶν προτέρων τῇ τε πόλει καὶ ἡμῖν οὔτοι μείων, ἀλλ' ἀμείνων καὶ πολὺ κατὰ τὸ περιὸν τῆς λώβης ἰσχυροτέρα καὶ χαλεπωτέρα παντάπασιν· ἄλλη πάλιν πανωλεθρία Τραπεζουντίοις σχεδὸν καὶ Σκύλλα καὶ ἄμπωτις καὶ Γοργὼ καὶ Χάρυβδις τοῖς παλαιοῖς τῶν κακιόνων τἀπίσημα, πρᾶγμα φημὶ τοῖς εἰδόσιν ἀνύποιστον καὶ θρήνων ὀλολυγὴ καὶ πένθος ἀφόρητον. Οὔπω γὰρ Ἄρεως ἐξ ἐμφύλου δεινοῦ ἡ πόλις ἀνέπνευσεν ἔτους ἑνὸς μεταξὺ παριππεύοντος κατ' ἦμαρ ὡς ἔπος καὶ μῆνα τὸν Πάνεμον, καθ' ὃν καὶ ὁ ἐμφύλιος ὥπλιστο, καὶ φάλαγγές τινες ὁμοῦ Περσικαὶ συῤῥαγεῖσαι τῇ τῶν Τραπεζουντίων πόλει ἐπεδεδραμήκεσαν λήϊα πάντα πιμπρᾶσαι καὶ ἀφανίζουσαι, χώρας τ' ἐρημοῦσαι καὶ κατοῤῥωδοῦσαι τὰ πάνδεινα. Ἔγωγε νάρκῃ δέ, ὦ βέλτιστοι, νὴ τῶν λεγομένων τὴν ἀλήθειαν, καὶ τοσούτων ἰλίγγῳ κακῶν διηγούμενος περιπέπτωκα μνήμῃ ἤδη τοῦ πάθους αἰσθόμενος καὶ γλῶτταν ἅμα καὶ χεῖρα πεπέδημαι καὶ οὐκ ἔχω πῶς διαγένοιμι. Μικροῦ δέ τι περιγενόμενος τὰ πρόσω τῆς ἱστορίας προΐεμαι καί γε ξυνάρασθαί μοι παρακαλῶ τοὺς εἰδότας τῶν μὴ γιγνωσκόντων οὐχ ἥκιστα τῆς τῇδε μερικῆς ἀφηγήσεως. Ἡτοίμαστο τοίνυν καὶ τὰ τῇδε στρατεύματα καὶ ἡ ξυμπλοκῆς ἡμέρα παρασκευῆς ἧς εἶχον ἀφώριστο. Τί δὲ δεῖ τἀν μέσῳ μακρηγορεῖν; ἀστικοὶ βαρβάροις ἐσμίγνυντο καὶ νικῶσιν οἱ βάρβαροι· ὦ τῆς ἀνοχῆς σου πανύψιστε, νῶτα δὲ Πέρσαις ἀστικοὶ ἐνδιδοῦσι καὶ φεύγουσι καὶ πίπτουσι καὶ ἀναιροῦνται πολλοὶ διωκόμενοι καὶ ψιλοὶ μὲν πάντες ἀκοντισταὶ καὶ τοξόται καὶ οἱ καλούμενοι ἀσπιδηφόροι. 'Επεὶ καθ' ἅπαξ ἑάλων δειλίᾳ καὶ δέει, σφαῖρα καταπρανὴς ὡς ἦσαν ἐκφεύγοντες, ἱππεῦσι δὲ Πέρ-

σαις ἡλίσκοντο καὶ πάντες ἐλεεινῶς ἀνῃροῦντο χωρὶς ἐνίων ποδῶν χρησαμένων ὠκύτησιν ἄχρις αὐτῶν τειχέων τοῦ ἄστεως καταδεδραμηκυίας τῶν βαρβάρων τῆς φάλαγγος. Ἀλλ' οὗτοι μὲν νίκαις κατεπαρθέντες καὶ θράσει, οἷα φιλεῖν εἰώθει τὸ βάρβαρον, κύκλῳ στοιχηδὸν τὰ τείχη περιστοιχίσαντες τί μὲν οὐκ ἔπραττον τῶν κακίστων; τί δ' οὐκ ἔλεγον τῶν ἐχθίστων; ἔστι δ' ὅτε καὶ πείραις σφοδραῖς ἀντεπῆγον, ἵν' εἴσω τῆς πόλεως γένοιντο· ἤδη γὰρ ἔβαλον πῦρ πανταχῇ καὶ τὰς πέριξ ἀγλαΐας ἠφάνιζον καὶ τοῦ πυρὸς αἱ φλόγες ἔνευον τοῦ ἄστεως ἔξωθεν διαπεττευθεῖσαι ὡς μὲν βρέμουσαι, ὡς δὲ ἀπειλοῦσαι καὶ μητινοσοῦν ἀπολείπουσαι μέγα τι τοῖς βαρβάροις τὸ θράσος ἐνῆκαν. Εἴσω γὰρ ἁπάντων τοῦ τείχους ἀποκλεισθέντων μετὰ πολλῆς τοῦ λοιποῦ καὶ δαψιλοῦς τῆς ἀδείας διαφθείροντες ἦσαν πάντα οἱ βάρβαροι, πῦρ δὲ ἡ πόλις ὅλη γε πῦρ δὲ ἔξωθέν τε καὶ ἔσωθεν ἦν καὶ τὸ πῦρ ὡς ἐμοὶ γ' οὖν δοκεῖν ὅλον θεήλατον ἦν καὶ μέγα τι σμαρδαλέον ὡς ἔπος κονάβιζε. Πῦρ γὰρ τῶν βαρβάρων ἔξω που βαλόντων τῆς πόλεως μέρει αὖραι παραχρῆμα σφοδραί τε καὶ βίαιοι πνεύσασαι μηδόλως πνοῆς πνεούσης τὸ πρότερον (αὐχμώδης γὰρ ἦν ἡ ἡμέρα σφόδρα ἐκείνη καὶ κυνῴου ἄστρου καυσώδης ἐπιτολὴ) τάς τε βρομίους προὔπεμπον εἴσω τοῦ ἄστεως καὶ λιθίνους οἴκους καὶ ἱερὰ μηδέπω πυρὶ λωβούμενα φλοξὶν ἀγρίαις κατέκαιον καὶ τὸ πάντων οἰκτρότερον, οἴμοι, καὶ ἀνθρώπους ἀριθμὸν ὑπερβαίνοντας· ἄνθρωποι γὰρ οἰκίαις καὶ οὐσίαις ἁπάσαις χαίρειν φάμενοι οἴκοις ἱεροῖς προσανέφευγον τὴν ἐκ τοῦ πυρὸς τιμωρίαν δεδιότες καὶ τὴν σφῶν σωτηρίαν ἐν τοῖς δε περιποιούμενοι.

Ἀλλ' ἐν ἐκείνοις, οἴμοι, πυρὶ κατηθάλωντο καὶ οἷά τινες ἀρτιφυοῦς δρυὸς ἠσβολωμένης ἀθλιώτατοι ῥῶπες ἅμα γυναιξὶν ἀνὴρ καὶ ἡ ἄωρος ἡλικία ἐῤῥιμένη παρ' ἀγυιαῖς καὶ ἀμφόδοις ἐτύγχανον καὶ οἰκίαις, ὢ βία! καὶ θείοις ἱδρύμασιν, ὢ τῶν ἀπειράκις ἀπείρων κριμάτων σου δέσποτα! ὦ τίς ταῦτ' ἀκούων ἀδακρυτὶ παρέλθοι κἂν ἠλίθιος ἄνθρωπος! Τούτοις δ' ἄρα παρὰ μικρὸν καὶ αὐτὸς ξυνηρίθμημαι ὡς μέσος οἴκτῳ ξυσχεθεὶς καὶ παρ' ὀλίγον ἂν ἐξεχύθη τὰ διαβήματά μου, εἰ μή μοι τῶν ἀπείρων εὐεργέτις εὐεργεσιῶν ἀθρόων ξυνήθης φανεῖσα χεῖ-



ρά τε ὤρεξε βοηθὸν καὶ τοῦ πυρὸς ἐκεῖθεν ἐῤῥύσατο θαμειῶς βοωμένῳ μοι δι' Εὐγενίου ξυμμαχοῦντος δηλονότι τοῦ μάρτυρος, ἀλλὰ καὶ Θεόδωρον στρατηγὸν τὸν ἀήττητον ἀληθείας καὶ μάρτυρα καλουμένῳ μέγα πρὸς σύστασιν φιλούμενον πάλαι κατάκρως μοι ἅμα Γεωργίῳ προμάχῳ τῷ ἀοιδίμῳ καὶ ἀηττήτῳ κλεινῷ χριστομάρτυρι. Ξυνεχέστερον δ' αὖ καὶ τοῦτον ἀνεκαλούμην μέγα βοῶν γεγωνότερον· ὦ Θεόδωρε, πᾶσι δεομένοις ἐπίκουρε καὶ τῆς ἐμῆς ἀσθενείας ταχυτάτη βοήθεια, ποῦ ποτ' ἄρα καὶ εἶ τὸν σὸν ἱκέτην πυρί με καὶ βίᾳ τῇδε προσαπολλύμενον παρωσάμενος; εἴτ' ἐν τῇ τοῦ Πόντου εἰς Ἡρακλείᾳ, ἐν ᾗ δημίαις χερσὶ κατῄκισταί σου τὸ πολύαθλον σῶμα καὶ σταυρῷ προσανήρτηται καὶ νιφάσι βελῶν κατὰ κορῶν ἀνόμως ἐμβέβληται καὶ περόνῃ βίᾳ ὠμῶς ἀπ' ἐγκρύφου πόρου ἄχρις αὐτῶν ἐγκάτων ἐντέτρηται καὶ μέρους τε μόρια ἰταμῶς ἀποκέκοπται, ἀγγέλου δε θείου πάντων ἀνείθης τούτων ἐπιφανείᾳ νυκτῶν ἀωρεί, ἐφ' ᾧ καὶ τοὺς πέντε σὺν ὀκτάκις δεκάσιν ἐφειλκύσω στρατιώτας εἰς ἄθλησιν καὶ δι' αὐτῶν τοὺς τριττάκις ἄνδρας ἑκατὸν τοὺς καλοὺς ὅμως καὶ γενναίους ἅμα Κένστῳ τῷ μακαρίῳ καὶ ἀνθυπάτῳ, καὶ ξίφει τὴν ἱερὰν ἀφῄρησαι κεφαλὴν τὸ μακάριον τοῦ μαρτυρίου στέφος ἀπενεγκάμενος κἀκεῖθέν τε μεταβὰς ἐν λήξεσιν ἀθανάτοις τῷ αἰωνίῳ ἀγωνοθέτῃ καὶ βασιλεῖ παρίστασαι καὶ ἀπολαύεις ἀμέσως τῶν βασιλικῶν ἀπολαύσεων· εἴτ' ἐν Εὐχαΐτοις πατρίδι σῇ μακαρίᾳ καὶ πολυόλβῳ πεπλουτηκυίᾳ τὴν ἁγίαν σορὸν τῶν λειψάνων σου· εἴτε μὴν ἐν ἐμῇ τῇ πατρίδι τυγχάνεις, ἔνθα καταγεραίρῃ τὰ μάλιστα καὶ θαλαττίας δίκην ἀντανίσχεις ψάμμου τὰ θαύματα· εἴτ' ἄλλοθι πιστοῖς ὀχλουμένοις εἰ τὴν χρείαν δωρούμενος, πάρεσο δεῦρο δὴ πρὸς ἡμᾶς ὅπῃ ποι ἂν ᾗς πυρὶ καὶ ξίφει καὶ βαρβάροις κινδυνεύοντας ἔσχατα. Καὶ εἰ τῷ ὑψηλῷ αἰθέρι ἐνδιαιτᾷ, εἴτε τινὰ ἐπουράνιον ἁψῖδα περιπολεῖς ἢ χοροῖς ἀγγέλων συντεταγμένος τῷ δεσπότῃ παρέστηκας, ἧκε πρὸς ἡμᾶς καλουμένους σε. Πάριθι, φίλτατε, πάρεσο καὶ χεῖρα τεῖναί μοι ἀρωγὸν τῶν παρόντων δεινῶν ἀπαλλάξουσαν, τάχος σπεύσας παραγενοῦ μοι τοῖς ἐσχάτοις ἐναποπνέοντι. Ὅθεν καὶ τῶν ξυμφορῶν ἐκείνων ἐγεγόνειν ἀνώτερος.

Ἐπεὶ δὲ καὶ Τραπεζοῦς πάσης ὕλης ἀπήλλακται καὶ βαρβάρων κακώσεως, τῆς περιλειφθείσης πρότερον ἡμῖν οὐσίας ἀπογυμνωθέντες καὶ τῷ κοινῷ πυρπολήματι, ἤγουν τῶν καταλοίπων ἀκρῖσι βεβρωμένων τοῖς βρούχοις, ὅλοι τοῖς τῇδε ἀπᾶραι γεγόναμεν. Ὅθεν καὶ πάλιν τοὺς πρεσβεύσοντας ἔστελλον, τοὺς κρατοῦντας ἱκέτευον, τοὺς ἐν τέλει προὔχοντας ἐδυσώπουν, ἔτι καὶ ὧν ἀδίκως ἐπεπόνθειν ἐμίμνησκον καὶ ὅλος ὅλοις ὅλως ἐγενόμην τούτοις δι᾽ἄφεσιν. Τούτοις κατακαμφθέντων ἐκείνων μόλις αὐτῶν ἀπηλλάγημεν καὶ ᾗ ποδῶν τάχους εἴχομεν, ὅλοι κομιδῇ τῆς νεὼς ἐγεγόνειμεν ἅρμα παρὰ λύδιον θέοντες καὶ οὐδὲν ἦν μοι πρὸς τοῦτο καὶ Ἀβάριδος ὀϊστὺς, οὐδέ τι Χείρωνος θετταλικὰ κατὰ θηρῶν ἀφιππάσματα· μάλα γάρ με πόθος ἐπῄει τις ἄῤῥητος πατρίδα θεάσασθαι καὶ ὑπὲρ ἵππον Ὁμήρειον.

Ἀμέλει καὶ ὑπὸ θεῷ σωτῆρι καὶ θεομήτορι τὰ ἱστία πετάσαντες μέσης πορείας εἰχόμεθα καὶ πρὸς τὸν Μαιῶτιν Βόσπορον ἀποπεπλεύκαμεν. Ἑωράκαμεν ἐκεῖσε Ταυροσκύθας ἀρούρας καὶ τοῖς Ὑπερβόρεως ξυνηυλίσθημεν κἀκεῖθεν μέλλουσι τὸν ἀπόπλουν ποιεῖσθαι πρὸς ἔαρος νῆες ῥωμαΐθεν ἄφνω ἐπιστᾶσαι αἴτιοι κωλύματος ἡμῖν ἀνεφάνησαν, ἄλλη τις βδέλλα δεινότητος. Ἀλλ᾽ἐνταῦθα γενομένοις ἡμῖν ὄκνος τῶν ἑξῆς καὶ ἀναβολή τις προσπίπτει, ὦ φίλτατοι, ὡς μὴ ὤφελέν τ᾽ἐπὶ τοῖς δε γενέσθαι. Ἄνωθεν δὲ τῆς ἱστορίας ἑλκούσης καὶ μὴ ἐώσης τάδε τελέως παραδραμεῖν ὡς μὴ λώβην ὑποστῆναι τῶν λεγομένων ἁβράν, ἔνι᾽ ἄττα τῶν ἑπομένων τούτοις προσθέντας (δεῖ) καταπαῦσαι τὸν λόγον.

Αἱ τοίνυν τριήρεις αἱ εἰρημέναι καταλαβοῦσαι τὸν χῶρον, οἷ παρῳκοῦμεν, ξυλλαμβάνουσί τε ἡμᾶς ἤδη καὶ ἄκοντας, εἰρήσεται γὰρ τἀληθές, καὶ τὴν Τραπεζουντίων τάχει καταλαμβάνουσιν. Ἄλλο δὲ τοῦτο μύσος ἄρα φονικὸν τοῖς ἐν τέλει γέγονεν ἔμφυλον καὶ ἀῤῥητουργίας ἔργα τοῖς ἀσεβοῦσιν ἀπόπτυστα, διὸ καὶ καθέκαστα γράφειν οὐ δύναμαι. Οὐ πολὺ τὸ ἐν μέσῳ καί με ἡ συνήθης χωνεία ἐμπύρως πάλιν κατέλαβέ καὶ νοσήματι περιπέπτωκα· καρηβαρίαι γάρ τε ὀξεῖαι καὶ λάβροι πυρετοὶ καὶ ἀπότομοι ἐπεγένοντο καὶ ζωῆς κομιδῇ

SISMANOGLIO MEGARO



ἀπαγόρευσις. Ὅθεν καὶ τὸ πρεσβυτέριον ἅπαν ἅμα τῷ ποιμένι τῷ ἀοιδίμῳ ἐκείνῳ καὶ φιλουμένῳ, Ἀκάκιος ἦν ὁ πολὺς ἐλέῳ, ξυνῆλθον καὶ τεθεάκασι καὶ δάκρυσί με κατέδευσαν, εἶτα καὶ ἐπευξάμενοι ἀνεχώρησαν σφόδρα ὑπεραλγήσαντες. Σὺ δ᾽ ἀλλ᾽ ὦ πρόμαχε καὶ τῆς ἐμῆς σωτηρίας ἐπίκουρε, θεοῦ μῆτερ ἄφθορε, ἄρα παρεῖδες; ἀπεβάλλου; ἠμέλησας; παρεώσω τῷ πλήθει τῶν πλημμελημάτων τῶν ἐμῶν τὰ ξυνήθη σοι φάρμακα; οὔμενουν οὐδαμῶς. Ὡς γάρ τοι τείνειν ἐπὶ σέ μου μόνον τὸν νοῦν δέδοχα, ἧκες ἐν ἀκαρεῖ οὐρανόθεν ἡ οὐράνιος πύλη πάντων πτηνῶν ὀξυτέρα, παντάνασσα, μηδὲν τῶν θεραπευτηρίων ὀργάνων ἐπιφερομένη τὸ σύνολον, ἀλλ᾽ ὅνπερ ἡμῖν ἀῤῥήτως θεὸν μόνον τέτοκας καὶ ᾧ τὰς δεήσεις προσφέρεις ἀεὶ περὶ πάντων πιστῶν καὶ κόσμου τοῦ ξύμπαντος. Οὕτω μοι τοῦ νοσήματος ἀπαλλαγέντι καὶ χρυσῆς εὐεξίας σαφῶς ἀπολαύσαντι χρόνος οὐ πάνυ τι μακρὸς παρεῤῥύετο καὶ πάλιν ἄλλη με πληγὴ κατελάμβανε, φίλων χωρισμὸς καὶ πένθος ἀνύποιστον. Οἶδε τοῦτο Τραπεζοῦς καὶ οἱ πέριξ ὁμέστιοι.

Ἐντεῦθεν ἀφαίρεσις οὐσίας μοι πραγμάτων καὶ φυγὴ δεινὴ κατεφίκανεν· ἀλλ᾽ ἤδη καὶ τῆς πληγῆς ταύτης θεόθεν ἀπαλλαγέντες ὅλοι τῆς προνοίας σου, δέσποινα παρθένε, γεγόναμεν. Ἀλλὰ τίς σου τὰς δυναστείας ἐξείποι; μόνῃ σιωπῇ τῶν ἀπειράκις ἀπείρων δοξάζομέν σου τῆς περὶ ἡμᾶς προμηθείας τὸ ἄπειρον. Νικολάου δὲ τοῦ Μυρέων πάνυ προέδρου, ᾧ κλῆσις πιστοῖς περιβόητος, παρ᾽οὗ τοῖς καλοῦσιν ὀξέως προφθάνει τὸ ζήτημα, Νικολάου φημὶ τοῦ μεγάλου Χριστοῦ μαθητοῦ καὶ ποιμένος πῶς ἄρα τὰς χρήσεις παρέλθοιμι; παιδιόθεν γὰρ ἄρα τοῦ σοφοῦ ἀρχιποίμενος τοῦδε ἡ μνήμη πάλαι τῇ ψυχῇ τῇ ἐμῇ προσεφίζανε· ἐπείπερ καὶ τοκεῦσιν ἐπέτειος ἡ τοῦ μεγάλου μνήμη πανήγυρις ἤγετο παννύχιος ἅμα δηλονότι καὶ πανημέριος, ᾠδαῖς τε καὶ δαψιλέσι τοῖς ᾄσμασι πάμπαν ἐνασμενίζουσιν. Οὕτως ἄρα θεῷ καὶ τῇ τούτῳ μητρὶ καὶ παρθένῳ ἀεὶ κελευόμενος τὰς χρείας οὗτός μοι πτηνοῦ δίκην τανυπτέρου, δίκην ὄρνιθος, ταχύτερον ὤρεγεν ὁ φιλόπτωχος, ὁ μάλα πᾶσι τοῖς πάσχουσι ξυμπαθῶν ἀρωγὸς

προσκαλούμενος. Οὔ τοι οὐδ' ἔγω γε τοῦδε τὴν μνήμην ἀγαπητήν πω ἐμαυτῷ περ ἀεὶ ποιούμενος σύμφυτον οὐ τῆς βοηθείας αἰσθάνομαι.

'Αλλὰ τί πρὸς ταῦτα νῦν τάχ' ἂν εἴποι τις; τοῖς ἑξῆς ἐπιτείνου τοῦ λόγου καὶ πάντ' ἄρα σαφῶς ταῖς ἱστορίαις ἑπομένως προστίθει. Τοῦτο γ' οὖν ἀναγκαῖον καὶ εἰ μέσοις φιλομαρτυροῦμεν τοῖς λόγοις οὕτω ποιήσασθαι. Χρόνος δέ τι μικρὸς παρετρίβετο καὶ πάλιν ταἰς ἐμαῖς ἀνομίαις νόσος ἐπηκολούθει μοι καὶ ἡ νόσος ἄρα σφοδρὰ καὶ τῶν πάλαι πασῶν μοι λίαν δυσάντητος. Θεραπείας εἰχόμην, ὦ φίλτατοι, τότε βασιλικῆς, ἰατροί γε πάντες οἱ τοῦ τόπου παρήδρευον, εἵποντο, ἐνήργουν, διήτουν, ἀπέκαμον· οὗτοι πάντες δὲ καὶ μικροῦ με ἀπηγορεύκασι καὶ τῆς ὁδοῦ παρεσφάλησαν. Αὐτίκα τοίνυν ἐπὶ τὴν ἀρωγὸν παροραθεὶς καταφεύγω, ἱκέτης κάμνων ταύτῃ γίγνομαι δάκρυσι πάλιν καὶ βοηθείας καθικέτευον. Νικόλαον ἀρχιερέα θεοῦ καὶ φίλον πρέσβυν ὅλον ἀξιούμενος προὔπεμπον. Γεώργιον ξύμμαχον καὶ Θεόδωρον τοὺς γεννάδας ξὺν Εὐγενίῳ τοὺς κυδαλίμους μοι προστάτας καὶ μάρτυρας πρέσβεις θεῷ διὰ παρθένου καὶ θεομήτορος δυσωπῶν προὐβαλλόμην σωτηρίας ἕνεκα. 'Αλλά φθάνει πάλιν ταχέως ἡ πρόμαχος καὶ τὸν υἱὸν ἱλεοῦται καὶ τὴν θεραπείαν παρέξειν κελεύοντος δέχεται, πρὸς ὃ καὶ οἱ πρέσβεις δοτῆρές μοι στέλλονται καὶ λαμβάνω πάλιν διὰ σοῦ θεραπείαν θεόθεν τῆς ἐμῆς ἀσθενείας ἐπίκουρε. Καιροῦ δὲ μεταξὺ παριππεύσαντος, ἐπείπερ ἀνεῤῥώσθην, ἀνακτορικῆς τε ἀκολούθως θεραπείας ἀπέλαυον, ἐῤῥέτω φθόνος (τοῖς γὰρ τῶν δικολόγων τῇ πόλει ταύτῃ τιμῆς τὰ πρῶτα εἰχόμεθα οὐδὲ πρότερον ταύτης ἀπολειπόμενοι), οὐκ ἀνεκτὰ ἐδόκει, ὦ ἄνδρες, ταυτὶ καὶ τῷ πάλαι πειράζοντι· ἄλλὰ γὰρ ὑποθέει λαθραίως μάλα τῶν ἐν τῇ πόλει τισὶ τοῖς ἐν τέλει καὶ ὑποψιθυρίζειν ἐδόκει κινδυνώδη τινὰ καθ' ἡμῶν καὶ βαρύτατα. Τί ἔτι τῷ πάθει ταῦτα προσιστορεῖσθαι βουλόμενος καινὴν τραγῳδίαν ὡς εἴποι τις ἅμα τοῖς ὁρῶσι τὸν λόγον ποιοίμην ταῖς ξυμφοραῖς τὸ βαρύτατον προκειμένων ἄλλων μοι δηλονότι κακῶν φερομένων τὰ ὕστατα πάνδεινα;

Οὕτω καὶ ἥλων αὖθις τοῖς δεινοῖς ἐγὼ καὶ καθείλκυσμαι

SISMANOGLIO MEGARO



καὶ θανάτῳ προσήγγικα καὶ πᾶσαν περιουσίαν ἀφῄρημαι νὴ τὴν θείαν ἐνάργειαν μηδὲν ἐμαυτῷ πονηρὸν ξυνεγνωκέναι πάμπαν αἰσθόμενος. 'Αλλ' ἐπείπερ ὑπὲρ φιλίας πάλαι μοι προσηταιρισμένων ἁπλῶς καὶ τῆς μακρᾶς ἑταιρείας ταῦτ' ᾔδειν ὑφίστασθαι τὰ δεινότατα καὶ ἥκιστά τι δι' ἄτερον τῶν ἐπιμώμων τῷ βίῳ καὶ καταπτύστων, τὴν μὲν οὐσίαν πᾶσαν ἀφῃρεῖσθαι ῥᾳδίως ἂν ὑπενεγκεῖν ᾔρημαι τῷ παντερόρῳ ταῦτ' ἀφιείς, περὶ δέ γε κινδύνου, τὰ κάκιστα ὑπῄδετο γάρ, καὶ μάλα τὴν ἀρωγὸν ἀνεκαλούμην καὶ σώτειραν. Ποῖ δὲ Γεώργιε, Θεόδωρε καὶ Εὐγένιε, οἱ καλλίνικοι ἀθληταὶ ἀληθείας καὶ μάρτυρες οἱ ταχεινοί μοι προστάται καὶ σωτηρίας ἐπίκουροι; Σὺ δὲ ἀλλὰ θειότατε, ποῦ ποτ' ἆρα καὶ εἶ τῶν Μυρέων ὁ πρόεδρος καὶ τὸν ἀνεύθυνον οὐχ ὁρᾷς ἐπαρτώμενον κίνδυνον; οὐκ ἐπικάμπτῃ τῇ ἀνόμῳ μου καταδίκῃ; Ἡ θεία μοι ἀρωγός τε καὶ ζωοποιὸς καὶ ἀέννκος πρόμαχος ποῦ ἂν ᾖς; πάρεσο δυσωπῶ· πρόσταξον τοῖς ἁγίοις τοῖς δε βοηθῆσαι τῇ ἐμῇ ἀσθενείᾳ. Ἡ τοῦ ἀληθινοῦ θεοῦ ἡμῶν ἀληθὴς καὶ παρθένος καὶ μήτηρ καὶ νῦν ὡς ἀεὶ ἐπικούρησον. Ὁρᾷς; ὁρᾷς; οἶδας ἄρα τὴν διαβολικὴν τῶν κακούντων ἐπίθεσιν· ῥύστης τοῦ τοσοῦδε φάνηθι πτώματος. Ξυνήθης παραγενοῦ πρὸς τὸν υἱόν σου καὶ κύριον· δεήθητι πάλιν, ὑπὲρ ἐξιλασμοῦ γόνυ κλῖνον τῷ φιλανθρώπῳ, φιλάνθρωπε. Οἶδα, ὅτι τῶν ἐμῶν ἁμαρτιῶν ὁ ἑσμὸς ἐκπιέζει με· ἀλλὰ πρόσδεξαι πενιχρὰν εὐτελοῦς οἰκέτου μετάνοιαν, λέξον τῷ υἱῷ καὶ θεῷ σου· μήτηρ εἶ, μῆτερ θεοῦ ἀειπάρθενε, καὶ μητρικὴν ἔχεις τὴν πρὸς αὐτὸν παῤῥησίαν· πάντα σοι δέδωκεν ἐκπληροῦν αἰτουμένων καὶ δεομένων αἰτήματα τῆς σῆς ἀγαθότητος ὁ σάρκα σεπτὴν ἁγίαν ἐξ ἀχράντων αἱμάτων σου ἑαυτῷ ἀμολύντως διὰ φιλανθρωπίαν ἄῤῥητον συστησάμενος. Ταῦτά μοι μετ' οἰμωγῶν ᾀδομένῳ ἐκέλευέ τι προσανύειν τοὺς δεινοὺς μηδόλως δυνήσεσθαι. Ἡ μέντοι περιουσία πρότερον ἀφῄρητο πᾶσα ξέναις ἁρπαγαῖς ἀεὶ χαίρουσιν, ἔγωγε δ' οὖν κινδύνου ἀπήλλαγμαι νὴ τοὺς λόγους καὶ πάσης ἄλλης κακότητος, φίλτατοι, τῷ θεῷ δ' ἄρα καὶ τῇ χρυσῇ θεομήτορι τὰ κατ' αὐτοὺς θεοκλυτήσας φέρων ἀνεθέμην μισθαποδοσίαν εἰς ἔνδικον.

Οὔπω δ' ἐνιαυτὸς ἐξηνύετο πᾶς καὶ καινήτις ἄρα ῥωμαῖθεν

ἀγγελία τῷ τῇδε τηνικαῦτα κρατοῦντι καὶ τοῖς ἀμφ' αὐτὸν ἐπεισέφρησεν. Ὅπως δ' οὖν, αὐτὸς ἑκὼν μὲν ἤδη παρίημι, τοῖς δέ γε εἰδόσι καὶ μάλα καινότατον. Ἐφέστηκε δ' ὅμως ἄναξ ἐν ἀκαρεῖ σὺν μητρὶ βασιλίδι μέγας Κομνηνὸς Ἀλέξιος ἔτι νεώτατος, ἄνθος οἷον πρὸ ἰούλου καὶ ἥβης τερπνότατον καὶ πάσης κακίας ἄγευστον, ἔκτος μὲν ἐξ Ἀλεξίου τοῦ πρώτου τῇδη κρατήσαντος, υἱωνὸς δ' Ἀλεξίου δευτέρου δὲ ὁμωνύμου ἐκείνῳ, τετράτου δὲ κατὰ γένος, ἀνδρός τε γενναίου καὶ μεγαφυοῦς ἀριδήλου, Βασιλείου δὲ παῖς Κομνηνοῦ τοῦ ἀειμνήστου καὶ πάνυ.

Ἀλλ' οὗτος μὲν ἐξελθὼν τῆς βασιλίδος τῶν πόλεων διῄει παρ' ἠϊόνας τοῦ κόλπου Εὐξείνου καὶ ψαμάθους ἐλλιμενιζόμενος διήρει τινὶ καὶ προσορμίζων ταῖς παραθαλαττιδίοις πόλεσι καὶ τυγχάνων πρεπούσης δοχῆς τε καὶ δεξιώσεως μάλα βασιλικῆς. Ἧκε δὲ μετὰ Σινώπην εἰς Ἀμινσὸν κἀκεῖθεν εἰς Κερασοῦντα καὶ παραβάλλει Τριπόλεσιν, οἷ καὶ ὑπὸ πᾶσιν ἀναγορεύεται μάλα καλῶς. Ταῦτα δὲ πραττόμενος ἦν ὁ ἐμοὶ προσφιλὴς νὴ τὸν φίλιον ἔρον, ὦ βέλτιστοι, ὃς κἀκεῖθεν τηνικαῦτα τῶν χώρων τῶνδε προΐστατο, δοῦκα τοῦτον ἡ Γραικῶν μέγαν καλεῖν οἶδε γλῶττα· ὃς δὴ καὶ ταῦτ' ἐνήργει προσεχῶς ὑπὸ βαθέσι μάλα τοῖς δράμασι, τὴν δ' αἰτίαν, ᾗ ταυτ' ᾠκονόμηκεν, οὐ τῷ παρόντι δεῖ προσάπτειν ἤδη καιρῷ, ὅτι μοι οὐδὲ περὶ τοιούτων ὁ λόγος, ἀλλ' οἰκονομίας ἀῤῥήτου θεοῦ καὶ σωτηρίας διὰ παρθένου θεόπαιδος ἅμα καὶ θεομήτορος ἔμοι γε πρὸς ἱστορίαν γεγενημένης. Ἀμέλει καὶ τῇ Τραπεζουντίων εἰσβάλλουσι κράτιστα καθῃρηκότων γε πρὶν τὸν πάλαι ἀνάσσοντα.(1) Ἐγκαινίζεται πάλιν δ' ἀνάκτορα. Φθορά δέ τις μετα καιρὸν οὐ βραχὺν τῶν ἐν τῇ πόλει πάλιν τισὶ τοῖς ἐν τέλει δεινὴ παρεφύετο, ἡμᾶς τ' ἐπὶ τὸν τῶν δικολόγων θρόνον ἀνακτορόθεν αὖθις καθίζειν αὐτοὶ ἐκβιάζουσι καὶ πάντα τῇ πόλει καὶ ἡμῖν κατὰ ῥοῦν εὐθέως εἶχε τὰ πράγματα· ἀλλ' οὐκ ἦν ἀνεκτὰ ταυτὶ καὶ τῷ βασκάνῳ· ἔρις γὰρ πάλιν καὶ φθόνος μέσοις τοῖς ἐμοῖς παρεισδὺς ἀτοπίαν εἰργάζετο. Ἐντεῦθεν καὶ ἀστατοῦσα τοῖς ἑταίροις δεινή τις φορὰ πελάζειν ἠ-

1) Μιχαὴλ α. ο.

SISMANOGLIO MEGARO



πείγετο, ἐφ' ᾧ καὶ τὸ μεταστῆναι λάθρα τῇδε ξυνείπετο. Τούτου δ' οὕτω προβάντος κἀπὶ τάδε καταντήσας ἤδη τὸν λόγον, ὦ φίλιον ἄθροισμα, οὐχ οἷός τε καθέξειν ἐμαυτὸν τῆς πρόσω φορᾶς ὅλως γεγένημαι· ἠβουλόμην γὰρ ἄχρι τῶν ὧδε νὴ τῶν λεγομένων τὴν ἀλήθειαν εἴσω τῶν ὅρμων τὸ τοῦ λόγου σκάφος ἐλλιμενίζεσθαι καὶ διὰ τοῦδε τῆς ἀῤῥήτου προνοίας τὰ ἐμοὶ παρὰ τοῦ φιλανθρώπου θεοῦ πεπραγμένα θαυμάσια διὰ τῆς ἁγνῆς θεομήτορος ὑμᾶς ὡς οἷόν θ' ὑπομνήσας διαναπαῦσαι τὸν λόγον καὶ λῦσαί τε τὸν τῆς ἀκροάσεως σύλλογον, τὴν δέ γε μνήμην καὶ τὴν εἰς θεὸν εὐχαριστίαν οὐδέποτε.

Ἐπεὶ δέ μοι τῶν πρὸς θεὸν καὶ τὴν αὐτοῦ μητέρα τὴν ἐπίγειον καὶ οὐράνιον ἄνασσαν δωρημάτων ὕμνον εὐχαριστήριον χάριν τῆς ἐμῆς οὐθενείας ἀνυμνῆσαι πόθος γέγονεν ὅση δύναμις, τὰ κυριώτερα τοῦ λόγου τῶν θαυμάτων ἂν ἀφαιρῆσαι μᾶλλον ὀφθείημεν, εἰ σιωπῇ τὰ κατόπιν παραδοῦναι θελήσαιμεν· τήν τε γὰρ ἡμῖν παρὰ θεοῦ διὰ τῆς ἑαυτοῦ μητρὸς φιλανθρωπίαν ἔτι γεγονυῖαν ἐν ὑστάτοις καὶ καιρίοις μάλιστα τοῖς κακοῖς ἀποδειξαίμεθα καὶ κατ' ὁρμαθὸν ἰθύνειν τὸν τῆς ἱστορίας λόγον τοῖς εἰδόσι δόξαιμεν ἔτι σαφέστερον κἂν τούτοις ἀληθεύειν καὶ τῷ βραβευτῇ τῆς νίκης τοὺς σωτηρίους ὕμνους ἀναγράφειν ὀφθείημεν αὐτὸν δὴ τὸν ἡμᾶς σεσωκότα τῆς ἀληθείας προβαλλόμενοι μάρτυρα κύριον ὡς μὴ καθυφεῖναί τι τῆς ἀκολουθίας τῷ πράγματι. Εἰ δέ τινα παρακοπῆς ἡμῖν ἢ παρυφέσεως ἢ μεταθέσεως τῶν τότε πεπραγμένων ἄρτι τῷ ἱστῷ ξυνυφαίνοιτο, θαυμαζέτω μηδείς, μηδέ μοι μεμφέσθω καὶ εἰ λίαν ἀξιοῦμεν τῶν ἐξεταστικῶν τις εἶναι τῶν πραττομένων τὴν ὥραν μεταξὺ τῶν πεπραχότων ἤδη σκοπούμενος.

Τούτων τοίνυν οὑτωσὶ πραττομένων ἀγγελία τις ἧκέ μοι καὶ γράμματα καλοῦμενά με τὴν Κερασουντίων τάχει πόλιν καταλαβέσθαι θεωρίας χάριν ἅμα καὶ ὁμιλίας, εἶτα καὶ παλινοστῆσαι διὰ ταχέος ὑπαγορεύοντα. Ταῦτα δὲ ἄρα τῷ Κερασουντίων ἐτύγχανεν ἀρχιερεῖ γεγραμμένα τοῖς τῶν ἑταίρων βουλήμασι· τῇδε γὰρ ἀπεληλύθεσαν, ὡς ἀνωτέρω προείρηται. Ἀμέλει καὶ τὰ γράμματα νενίκηκέ με καὶ μηδέν τι μελλήσαντα παραγενέσθαι θᾶττον παρὰ τὸν ἄγοντα πέπεικεν, ὥστε

καὶ πάντων τῶν τῇδε οὐσιῶν περιφρονήσας καὶ πάντα καταλιπὼν, οἷον ἧς εἶχον περιουσίας, εἰ καὶ μικρά τις τῷ βρούχῳ ἡμῖν ὑπολέλειπται. Τῆς πορείας δ' ἐναρξάμενος οὐ λάθρα, οὐδὲ σκαιῶς τι τὴν τῇδε ἐκβολὴν πεποιήκαμεν, ὡς ᾤοντό τινες, ἀλλ' ἠρέμα διὰ γραμμάτων τοῖς κρατοῦσιν ὡς δεσπόταις περὶ τοῦδε δεδήλωκα, ὡς εἴγε κελεύοιεν ἀφίξεσθαι. Τῶν δ' ἐπινευσάντων διέξιμεν. Οὕτω τὴν Κερασουντίων εἰσαφίγμεθα πόλιν. Ἄστυ τοιγαροῦν ἑωράκαμεν τὴν Κερασουντίων μητρόπολιν τείχεσι χαλκοῖς ὠχυρωμένην, ὡς ὁ λόγος, παντάπασι καὶ εὐρύτατον καὶ θαλάτταις ἠγκαλισμένον καὶ νάμασιν ὑδάτων ἡδέων κατάῤῥυτον· πόλις γάρ ἐστι τις αὕτη παλαιὰ καὶ πολύπλεθρος μυρίων εὐανθέων καὶ καρπίμων ὡραίων ξύλων ἐμβρίθουσα καὶ χρηστῶν οἰκητόρων οἰκήτρια, Εὐξείνου κόλπου τῶν πρὸς ἕω Κολχίδων ἀνῳκισμένη παραθαλαττίδιος· ἣν δὴ καταλαβόντες καὶ τῶν εἰρημένων θέσεώς τε καὶ καλλονῆς ὡς εἶχεν ἄνωθεν ταύτην ἰδέσθαι πεφθάκαμεν· ἤδη γὰρ τῶν βαρβάρων καὶ τῆς ἐκεῖθεν ἀσβόλης καὶ ἐρημώσεως μικροῦ πρὶν ἠλευθέρωτο. Ἀλλ' ὅμως γε τῶν χαρακτηριστικῶν αὐτῇ σημείων ἐπαινέται γεγόναμεν. Ἔνδον τοίνυν γενόμενοι τῷ τῇδε ἀρχιερεῖ προσανείμεθα ἡδέως μάλα πρὸς αὐτοῦ τὰς ὁμιλίας ποιούμενοι. Κύριλλος δ' ἦν ὁ τῆς πόλεως πρόεδρος ἀπλάστῳ ἤθει δηλονότι καὶ βίῳ βιούμενος. Ἦμεν τοίνυν παρά τε αὐτοῦ ποιμένος καὶ τοῦ κλήρου καὶ πάντων οἰκητόρων ἡδέως τιμώμενοι, πρὸς δέ μοι τῆς ἑταιρείας καὶ λίαν ἐπέραστα· εἰρήσεται γὰρ τἀληθές. Ὅθεν καὶ μετά τινας τῆς ὁμιλίας ἡμέρας τὴν ἐπὶ Τραπεζοῦντα ᾐτήκαμεν παλινόστησιν, εἴπερ καὶ οὐκ ἠνύκαμεν, καὶ αὖθις καὶ δίς τε καὶ τρὶς διὰ πείρας τοῦδε γενόμενοι τῆς ἐφέσεως τὸ ἑξῆς διημάρτομεν. Μικρᾶς δέ τινος καὶ ἐπιψόγου παρ' αὐτοῖς διὰ τοῦτο μομφῆς γεγενήμεθα αἴτιοι νὴ τοὺς λόγους, ὦ φίλτατοι. Ἀμέλει δὲ καὶ ἡμεῖς τὸ ἀπὸ τοῦδε τὸ σκάμμα σοφῶς διερχόμενοι ὡσπερεί με φάναι κατ' ἔπος, καὶ ἀέκοντες ἀεθλεύοντες μέροπες, τί τὸ ἐν μέσοις; γραφαὶ τοῖς κρατοῦσι καὶ πρέσβεις πρὸς τὴν ἑταιρείαν συχνοὶ ἀφικνοῦνται, ἵν' ἐκεῖθεν τὴν Τραπεζουντίων τάχος αὐτοὶ καταλάβωμεν. Τῶν δὲ ἀναβαλλομένων τὴν ἄφιξιν ἐνδίκοις λόγοις, οἷς ἔφα-

SISMANOGLIO MEGARO



σκον, ἀσφαλοῦς ζωῆς εἵνεκα, θυμὸς τοὺς κρατοῦντας εἰσῄει μάλα θερμὸς καὶ οὐκ ἄκαιρος· ἤδη γὰρ ἀνῆπται ουτοσὶ καὶ ὑπό τισι τῶν ἐργώντων ἀπᾴδουσιν· ὕλη γὰρ εἰς πυρσὸν μάλα τῷ πυρὶ διαέριον πρόσφορος. Ὅθεν ἐφ' ὅπλα καὶ νῆας ἐφώρμησαν καὶ τῇ Κερασουντίων μάλα προσβάλλουσι τριήρεσί τε καὶ ἀκατίοις ἅμα καὶ δρόμωσι τοῖς πᾶσι βασιλικοῖς· τὰ δ' ἑξῆς πῶς ἆρ' ἂν διαγράψαιμι μέσος καὶ αὐτὸς παρεισδὺς εὐθυνῶν ὁ ἀνεύθυνος; Ὅμως μὲν οὖν τοῖν μεροῖν ἀμφοτέρωθεν διεστώτοιν ἀκροβολισμὸς καὶ φύλοπις ἦν ἐνηχοῦσα τὸ ἐνυάλιον. Ἕστηκε δέ γε ἡ πόλις πᾶσα παραθαλάττιος τῇ ναυμαχίᾳ δηλονότι ἀντίῤῥοπος. Ἤδη δὲ καὶ ξύμμαχοι μοσθοφόροι τοῖς κρατοῦυι ἥκασιν ἱππεῖς ἅμα πεζοῖς ἐξ ἠπείρου τῆς γείτονος βάρβαροι, λάθρα δὲ τοῦτο ἦν πεπραγμένον τισὶν ὑπὸ βαθέσι τοῖς σκαιωρήμασιν, ὃ καὶ μᾶλλον δειλίαν τινὰ ἐνῆκε τῇ πόλει· ἔτι γὰρ ἐντεῦθεν ἐκ γῆς καὶ θαλάσσης προσεδοκᾶτο τὸ μάχιμον. Τί οὖν ἔτι; στάσις τις ἦν τοῖς ἐν ἄστει καὶ τὸ δρᾶμα δεινὸν μεν καὶ δυσάντητον, ἤδη δὲ καὶ σαφὲς τοῖς περὶ ἡμᾶς ἀνεφαίνετο καὶ τὰ τῶν πραγμάτων δῆλα τῶν φαινομένων καθίστα. Ἔνιοι τούτων γὰρ ἦσαν ὡς φάναι δαήμονες· διὸ καὶ στάσις τις ἦν τῶν ἐν ἄστει καὶ τοῦ δήμου βόμβος μάλα πολὺς οἷα μᾶλλον φιλεῖ γίγνεσθαι μέσῳ αὐτοῖς παρατάξεως, ὅτ' ἂν τῶν συμφώνων καινοτομηθῇ τι ἄφνω τοῖς προτέροις οὐχ ὅμοιον, ὡς καὶ Εὐριπίδῃ οὕτω δοκεῖ. Ἀλλ' ἐν ἐκείνῳ μὲν «ὅταν ἡβᾷ δῆμος, κρεῖσσον ἢ πῦρ κατασβέσαι λάβρον», ἐνταῦθα δ' οὐ πάνυ τι πέπρακται ἡμῖν τοιοῦτον τοῦ θεοῦ διὰ τῆς θεομήτορος ἄγοντος ἐπὶ χρησταῖς ἐκβάσεσι τὰ ἡμέτερα. Ὅθεν καὶ μέσον μέσοις παρελείφθη τὸ καθ' ἡμᾶς καὶ οὐ βίᾳ τινὶ τῶν καιρίων κακῶν ξυνωθεῖτο οἷα ξυμβαίνει γίγνεσθαι ἀληθῶς τοῖς τοιούτοις. Βουλὴ δέ τις κρατεῖ τῶν ἄλλων μάλα τῆς καθ' ἡμᾶς κρείττων ὡς τῇ ἀκροπόλει ἔτι προσπεφευγέναι στεῤῥῶς ἐχούσῃ πάντοθεν κατ' ὀχύρωσιν· προκεχύρωται γὰρ τῷ δουκὶ ἀσφαλῶς καὶ χρειωδῶν ἐνεπέπληστο. Τὰ γὰρ ἐν μέσῳ τί δεῖ παρατείνειν; οὕτως εἰσῄειμεν τὴν ἀκρόπολιν, εἰ καὶ οὐ δεόντως μάλα τοῦτο ξυνέβαινεν, ἐπειδὴ οὐδὲ τηνικαῦτα παρῆν ἡμῖν τῶν κρατίστων ὁ πρόβολος. Ἐπί τε γὰρ προὐτετυχήκει

τῶν ὀχυρωμάτων ἄλλο μεταβεβηκέναι πολίχνιον, ὃ πάντως καὶ ἡμᾶς αὐτοὺς μετ' ὀλίγον δεχθήσεσθαι ἤμελλεν. Οὕτω τοίνυν τῇ ἀκροπόλει γενόμενοι καὶ λόγους παρ' οἰκητόρων σαφεῖς δεδεγμένοι τῶν κρατούντων ἔνδον ἤδη γεγενημένων τοῦ ἄστεως, ὡς εἰ ἔξω τε γεγενήμεθα, ἀλλαχῇ τὴν πορείαν ποιήσαντες σωτηρίαν ἑαυτοῖς μᾶλλον περιποιησαίμεθα, τοῖς λόγοις τούτων ἐπενενεύκαμεν καὶ δίοδον διὰ πορείας ἐξῃτήσαμεν καταλαβέσθαι τὸ ἔρυμα, οἷ καὶ ὁ μέγας, ὡς εἴρηται, δοὺξ ἐτύγχανε τηνικαῦτα πείρας ἄτερ τινοσοῦν καὶ ὀχλήσεως. Μόλις δὲ γενομένου εἰς ἀπελύθη δρόμων τῶν βασιλικῶν ἀπάξων ἡμᾶς ἐκεῖθεν πάρα τὸ ἔρυμα καὶ ἁπάντων μέντοι τῶν ἀμφὶ τὸν δοῦκα ξὺν αὐτῷ καταίρειν ἐς αἰγιαλοὺς, ἐν οἷς ὁ δρόμων παρὰ τὴν Κόκαριν ἣν οὑτωσὶ καλουμένην τὸ ἐνδόσιμον ἤδη λελαχηκότων, μόνως μόνον αὐτόν με, ὢ βία καὶ δίκη, οἱ περὶ τοὺς κρατοῦντας οὐκ ἐπένευον. Καὶ ἦν ἰδεῖν νὴ τοὺς λόγους, ὦ φίλτατοι, ἀνάγκην φύσεως τηνικαῦτα καὶ λίαν σφοδρὰν μικροῦ καὶ λόγον ὑπερβαίνουσαν ἅπαντα· ὑπῄδετο γάρ τοι καὶ λίαν κατὰ τῆς ἡμετέρας πονηρὰ πρὸς κακῶν σωτηρίας.

Ταῦτα τοίνυν ἀκούσας τε καὶ μαθὼν ὡς μέσος κακῶν τοσούτων μόνος ἐγὼ στενά μοι πάντοθεν θαμειῶς ἔλεγον· ἐπ' οὐρανὸν διῇρουν τὰ ὄμματα ξυνεχέστερον τὸ ἴδε, Κύριε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην, ἣν ἐφύτευσεν ἡ δεξιά σου, διωλύγιον ἔκραζον καὶ τὰ ἑξῆς τῷ ψαλμῷ προσετίθουν καὶ εἴτι τούτοις ἦν πρόσφορον ἄτερον οὐκ ἔτι ὑπῇδον, ἀλλά τι γεγωνὸν ἀνεκραύγαζον. Ἔνδον τοίνυν τάχει τοῦ ἱεροῦ γενόμενος τῷ μεγάλῳ τελοῦντος ἤδη Προδρόμῳ ὅλοις ὅλον ἐμαυτὸν τοῖς τοῦ μεγάλου ῥίπτω ποσὶ καὶ δάκρυσιν ᾔτουν ἐκεῖθεν πίστει τὸν ἔλεον. Μὴ ἀκλεᾶ κλαίων ἔλεγον γενέσθαι μοι τὴν ἀποβίωσιν· ὠλόλυζον γοερὸν, ἀνεκαλούμην τὴν σώτειραν. Καὶ ὦ πρόμαχε τῆς ἐμῆς οὐθενείας καὶ ξύμμαχε, ἡ ἀληθῶς ἐξ ἀπείρων με ἀπείρων με ἀπειράκις κακῶν ἀπαλλάξασα, ποῦ ἆρά μοι καὶ τυγχάνεις μεγα βεβόηκα, δέσποινα, τὸν ἐμὸν ὄλεθρον ἐξηρτημένον νῦν παρατρέχουσα; αὗται τῶν σῶν ἀπείρων δωρεῶν αἱ πάντιμοι χάριτες, αἱ πολλῶν καὶ χαλεπῶν με νοσημάτων πολυσχιδῶν καὶ κινδύνων ῥυόμεναι προνοίᾳ τῆς σῆς

SISMANOGLIO MEGARO



ἀπήλλαττον ἀγαθότητος, ἵνα τῷ παρόντι ταμιευθεὶς ἤδη καιρῷ μύσει χαλεπῷ καὶ ὀλέθρῳ προσπέσοιμι; ἵν' ἐπονείδιστος γένοιμι; ἵνα τῷ συγγόνῳ μᾶλλον τῶν ἄλλων οὐαὶ καὶ θρῆνος καὶ ὀλολυγὴ πανημέριος; μὴ δέομαι τῆς εὐσπλάγχνου φιλανθρωπίας σου· μὴ παρακαλῶ σε τὴν σώτειραν· μή γε ἡ ξυνήθης μοι πρόμαχος μὴ τοῖς ζητοῦσιν ἄδικον γεγονοίμην πλημμέλημα· πῦρ γὰρ ἤδη τοῖς θυμοῖς ἀποπνέεται. Ὁρᾷς τὴν ἀδράνειαν; ὁρᾷς μοι τὴν μόνωσιν; ὁρᾷς τὴν ἐπήρειαν; οἶσθα πρὸ πάντων τὸν ἐμὸν λογισμὸν, ὡς οὗτοι δεινὸς ἦν αὐτοῖς, ἡ τῶν κρυφίων ἀνθρώποις θεωρὸς ἀπαράλειπτος. Ἴθι μοι διὰ τοῦτο, ὦ δέσποινα, καὶ κινδύνου τοῦ παρόντος ἐξάρπασον. Βαπτιστὰ Ἰωάννη καὶ προφῆτα κυρίου καὶ Πρόδρομε, δεήθητι τοῦ δι' ἡμᾶς σαρκωθέντος, ὃν Ἰορδανείοις ῥείθροις ἐχειράπτησας εὐδοκήσαντα πάλιν καὶ ἱκέτευσον καὶ ἵλεων ἔργασαι, ὡς ἂν εὐμενής μοι ἁμαρτήσαντι παρὰ πάντας ὁ φιλάνθρωπος γένοιτο. Ὦ θεοῦ ἄνερ γνήσιε καὶ θεράπων Νικόλαε καὶ θῦτα καὶ μύστα καὶ μιμητὰ ἱερέ, πρόφθασον. Τρεῖς πάλαι ἄνδρας ἐξείλου μέγα προφθάσάς ἐν ἀκαρεῖ δημίων χειρῶν καὶ θανάτου πικροῦ. Ἴδε κἀμέ τε τῷ πλήθει τῶν δεινῶν ἀπολλύμενον· σπεῦσον ἐξελέσθαι, Νικόλαε. Ὕπαρ εὐσεβεῖ βασιλεῖ καὶ ἐπάρχῳ καταπτὰς ἀωρεὶ στρατηλάτας τῆς κακίας τρεῖς τῶν κινδύνων ἀπήλλαξας. Ὑπὲρ ἐμοῦ καὶ νῦν ἱκέτευε, ἧκε τοῖς ἄναξι τοῖς δε τοῖς εὐσεβέσι καὶ τιμῶσι τῶν ἁγίων τὰ θαύματα· οἶδα γάρ εἰ ἐπινεύεις μόνον γε, ῥᾷον ἂν ἢ πάλαι δοίης ἡμῖν τὰ σωτήρια.

Οἱ κλεινοὶ τῶν μαρτύρων καὶ μέγιστοι, Γεώργιε τρόπαια πᾶσιν ἀνιστῶν τοῖς αἰτοῦσί σε μέγιστα, τάχιστα πρόφθασον· Θεόδωρε, πᾶσαν θεραπείαν τοῖς καλοῦσι δωρούμενος, φάνηθί μοι παρήγορος. Εὐγένιε Τραπεζουντίοις καὶ ἅμα πᾶσι τοῖς ὑφ' ἡλίῳ φαιδρότερον ἡλίου ἀγλάϊσμα καὶ στεῤῥὸν ἐμοὶ ἀμυντήριον, ἐπάκουσον φωνῆς ἀσθενείας μου δέομαι· πάντες, ὦ οὗτοι, προστάται μου καὶ νηπιόθεν ἀρωγοὶ καὶ πρόμαχοι μάρτυρες ἀληθείας οἱ γενναιότατοι, εἴητέ μοι κινδυνεύοντι ῥύσται, ὁρᾶτε οἵων καὶ ὅσων χαλεπῶν ἀθρόων μέσος ἑώραμαι. Σπεύσατε, σπεύσατε τῶν κακῶν ἀναῤῥύσασθαι. Σὺ δ' ἀλλ' ὦ δέσποτα καὶ φιλάνθρωπε καὶ ἀνεξίκακε, νεῦσον πρὸς οἴκτους· ὄρεξον

χεῖρα βοηθὸν οὐθενείᾳ μου, ἐλέους ἀξίωσόν με τὸν τοῦ ἐλέους
ἀνάξιον. Οἶδα σαφῶς κωλύοντά σου τὴν ἀρωγὴν τἀμὰ πλημ-
μελήματα, τὸ πέλαγος ἐμποδίζει τῶν ἀνομιῶν μου τὴν ἴασιν,
ἀναβάλλεσθαί σου τὴν χρηστότητα τοῖς ἀπείροις μοι σφάλμα-
σιν ἐπίσταμαι, κύριε. Πάντας ὑπερέβην ἀσωτίαις ἀνθρώπους ὁ
δείλαιος, τὴν ὀργὴν ἐπάγειν σε ἀποτόμως τοῖς πταίουσιν ἀνε-
πιστρόφως ἀκήκοα. Ἀλλ' οἶδά σου πείραις οὐ μετρίαις τὸ φύ-
σει φιλάνθρωπον καὶ τὸ ὑπὲρ φύσιν συμπαθὲς καὶ μακρόθυμον
καὶ ἀόργητον καὶ ἀνεξίκακον, δέσποτα. Τί εἴπω; ἐπὶ τὴν ἄ-
βυσσον τῶν οἰκτιρμῶν σου καταφεύγω, φιλάνθρωπε. Μετάνοι-
αν αἰτεῖς ἁμαρτάνουσι καὶ λύεις εὐθέως τὰ πταίσματα· προ-
λέγειν ἐθέλεις τοὺς σφάλλοντας τὰ ἑαυτῶν ἁμαρτήματα καὶ
παραχρῆμα τῆς κακίας αὐτοὺς ἀποκαθαίρει, μακρόθυμε· φιλαν-
θρώπως προσίῃ τοὺς λίαν σοι πταίσαντας καὶ δάκρυσι λέ-
γοντας ἐλευθέρους δεικνύεις, φιλάνθρωπε. Ἥμαρτέ σοι καὶ γάρ
ποτε Δαυῒδ ὁ προφήτης ἐπὶ διπλοῖς ἀτοπήμασι καὶ δι' ἄλλου
προφήτου «ἥμαρτον» ἐν μετανοίᾳ βοήσας σοι εὐθέως παρὰ σοῦ
ξυγκεχώρηται. Ἐλέους τε καὶ τοῦ πνεύματός σου πάλιν τετύ-
χηκεν. Ἀλλ' ἐγώ σε πολλοῖς ἐκθυμώσας καὶ παροργίσας ὑπὲρ
τοῖς σφάλμασιν οὐ θαῤῥῶ, πλὴν τῷ ἀφάτῳ προσπεφευγώς σου
ἐλέῳ ἅπτομαι τῶν εὐσπλάγχνων οἰκτιρμῶν τῆς προνοίας
σου, δέσποτα, καὶ ὡς τελώνης δέομαι ἱλάσθητί μοι κράζων
τῷ ἀπειράκις ἀπείρως σοι πταίσαντι καὶ τοσαυτάκις ἐλεη-
θέντι τῇ ὑπεραπείρῳ καὶ ἀῤῥήτῳ τῆς περὶ ἡμᾶς σου φιλανθρω-
πίας ἐλέει, πανύψιστε· τύπτοντά μου μὴ παρίδῃς στέρνα δυσ-
τυχῆ καὶ ταλαίπωρα. Ἐζεκίᾳ πάλαι θρηνήσαντι ζωῆς προτ-
θήκην διὰ προφήτου τάχει πάνυ δεδώρησαι. Μανασσῆν δὲ υἱ-
ὸν ἐκείνου παραβάτην ὀφθέντα καὶ ἀλαζόνα καὶ ὑβριστὴν τῆς
ἁγίας δόξης σου Βαβυλῶνι πυρὶ καὶ σιδήρῳ πέδαις ἀθλίως
πυρσούμενον ᾤκτειρας μετανοία σοι κλαύσαντα· διὸ καὶ χαλε-
πωτάτου θανάτου παραδόξως ἀπήλλαξας. Τὸν Ἀχαὰβ τε ἐπὶ
ἁρπαγῇ καὶ φόνῳ κλὶ ὕβρει καὶ ἀπιστίᾳ ταπεινωθέντα ἠλέ-
ησας καὶ δεινῆς ἀποφάσεως ἠλευθέρωσας· τὸν Θεσβίτην Ἠλίαν
ἐν τῷδε παρακρουσάμενος καὶ τὰς δώδεκα Νινευίτιδας μυριά-
δας τῶν ἀνθρώπων πάλαι ταπεινωθείσας ἠλέησας καὶ τὴν με-

SISMANOGLIO MEGARO



τάνοιαν αὐτῶν ἰδὼν ᾤκτειρας καὶ σωτηρίας ἠξίωκας Ἰωνᾶν τὸν
προφήτην σου λυπησάμενος. Πέτρον δὲ ἠρνηκότα σε τρὶς
προσεδέξω σοι κλαύσαντα καὶ χοροῦ μαθητῶν κορυφαῖον ἀ-
νέδειξας καὶ στύλον οἰκουμένης ἀῤῥαγῆ τε καὶ κήρυκα τῆς
πίστεως πέτραν καὶ ποιμένα πᾶσιν εὐσεβέσιν ὑπέφηνας· λη-
στὴν μυρίοις καταχρανθέντα τοῖς αἵμασιν ἐπὶ σταυροῦ σε σαρ-
κὶ προσηλωμένον θεὸν ἐμφρόνως ὁμολογήσαντα ἡγίακας καὶ
πρῶτον οἰκιστὴν τοῦ παραδείσου τετέλεκας. Σαῦλον ὑβρι-
στὴν καὶ διώκτην τῶν δούλων σου ἀπόστολον μέγιστον ἀνε-
δείξω καὶ θεολογίας μέγαν ὑφηγητήν τε καὶ κήρυκα, θείας
ἐκφαντορίας σημάντορα καὶ οἰκουμένης ἁπάσης διδάσκαλον
καὶ Παῦλον ἀντὶ Σαύλου ἕδραν πιστοῖς ἁγίοις ἀντὶ τοῦ σα-
λεύειν ἄῤῥηκτον ἐναπέδειξας. Πῶς ἐξιχνιάσω σου τῶν ἀγαθῶν
τῆς ἀβύσσου τὴν ἀπειράκις ἀπείρως ὑπεράπειρον τῆς δυνάμε-
ώς σου χρηστότητα, πανεύσπλαγχνε δέσποτα, τήν τε περὶ
ἡμᾶς τοὺς εὐτελεῖς καὶ ἀχρείους ἀέναον πρόνοιαν τῆς ἀφάτου
φιλανθρωπίας σου; ἡμάρτηκα, ἡμάρτηκά σοι μετὰ τούτων ἁ-
πάντων πάντας ὑπερβαλὼν ἀτοπήμασιν οἰκτρόν τε καὶ ἐλεει-
νὸν εἰς ὕψος διάρας τὸ ἐγκάρδιον ὄμμα μέγα βοῶμαί σοι τύ-
πτων ἀξίως τὸ στῆθος ὡς τῶν πονηρῶν ταμιεῖον ἐμπράξεων
οἴκτειρον οἴκτῳ με κριμάτων ἐλέους σου, κύριε, καὶ μὴ δώῃς εἰς
σάλον τὸν πόδα μου, μηδὲ νυστάξοι ὁ φυλάσσων με θειότατος
ἄγγελος· φύλαξόν με ἐπὶ χεῖρα δεξιάν μου· ἡμέρας ὁ ἥλιος μὴ
συγκαυσάτω με, μηδὲ ἡ σελήνη τὴν νύκτα· φύλαξόν με, κύριε,
ὡς ἀπὸ παντὸς καὶ τοῦ παρόντος κακοῦ· φύλαξον τὴν ψυχήν μου
ὁ κύριός μου, ὁ γλυκύτατός μου θεός, καὶ τὴν εἴσοδόν μου καὶ
τὴν ἔξοδόν μου ἀπὸ τοῦ παρόντος ἕως τοῦ αἰῶνος. Μὴ δῴης,
ὦ δέσποτα, καὶ νῦν ψυχὴν ἐξομολογουμένην σοι τοῖς θηρίοις
τῆς γῆς· ἀνάγαγέ με, ἵνα μὴ ἐμπαγῶ εἰς ἰλὺν βυθοῦ, ἐξά-
γαγε ἐκ φυλακῆς τὴν ψυχήν μου καὶ ἐκ στόματος λέοντος καὶ
ἐκ χειρὸς κυνὸς τὸν μονογενῆ μου· μὴ συσχέτω ἐπ' ἐμὲ φρέαρ,
μηδὲ κακά με θηρεύσοι εἰς διαφθορὰν ἄδικον· μὴ λίνοις με θη-
ρευόντων ἐνθηρευθῆναι ποιήσαις. Ἀλλὰ δός, ὦ πανάγαθε δέ-
σποτα, τὰς κατ' ἐμοῦ ξυντριβῆναι παγίδας καὶ ῥυσθῆναι ἡμᾶς
ὡς στρουθίον ᾄδοντας τὸν ἐπινίκιον ὕμνον σοι ὡς λύτρων χα-

ριστήριον ἄποινον, εὐχήν τε παιάνειον καὶ ἀέναον. Ταῦτ' ἔλεγον ἀνθομολογούμενος κυρίῳ τῷ θεῷ τῶν πατέρων ἡμῶν καὶ κρουνοῖς δακρύων ἐμαυτὸν ὅλον ἔπλυνον, τοῦ θείου δὲ σκίμποδος τῆς ἀχράντου εἰκόνος τοῦ σωτῆρος καί γε τῆς θεομήτορος, τοῦ προδρόμου, ὅλαις ὠλέναις ἐπείλημμαι.

'Αμέλει καὶ τούτοις καὶ τοιούτοις ὅλοις ὅλος ὀλοφυρόμενος ἀκήκοά τινος τῶν ἐξορμώντων ὡς ἐς ἑαυτὸν ἐκκαλοῦντός με καί γε πλησιάσαντι τὸ αἴτιον φράζει μοι καὶ κεῖσθαι οὕτως ἀπόῤῥητον ἔφασκε· τὸ δ' ἦν ἄρα ὡς ὅπλοις ἐνυπερπεφραγμένον ἤδη με γεγονότα ξυναπᾶραι τούτοις εἰς θάλατταν καὶ σφίσιν ἅμα ξυμπλεύσασθαι. 'Εγὼ δ' αὐτίκα, ὦ ἄνδρες, νὴ τοὺς λόγους τὸ πρᾶγμα τοῦτο ξυνεὶς ὡς οὐκ ἀθεεὶ γεγονέναι ἁπάσης ἧς ἔτι εἶχον οὐσίας ὑπεριδών, ὡς ξυρὸς ἐπ' ἀκόνῃ, ψιλὸς ὅλος ἦν ἐξορμήσεως. Οὕτω δή με καὶ καταφράττουσι καὶ τὸν βαθὺν ἐκεῖνον κρημνὸν ἢ βυθὸν ἢ ταρτάρειον ἢ ἐνᾴδιόν τινα φάραγγα κατασύρεσθαι φράζουσιν, οὕτω με φάναι χρεών· οὐδὲ γὰρ ἐρείδεσθαι ὅλος εἶχεν ἐν τούτῳ δή μοι τὼ πέλματε. Πῶς δὲ ταῦθ' ὡς εἶχεν ἐκφράσαιμι; ὅμως γε μέν τοι ξίφος με περὶ τὴν ἰξύν μοι μέγα ζωννύουσιν, εἶτα κόρυθα χαλκείην μέγα σμερδνὴν καθ' Ὅμηρον τῇ κεφαλῇ μοι τιθέασιν, ἧς τὸ προμετώπιον ὄψιν ὅλην ἄχρι καὶ στήθους ὅλως ἐκάλυπτε· ταύτῃ τοι τὸ κρανίον μάλα καὶ τὸ ἰνίον ἄκρως βεβάρημαι καὶ οἱ τένοντες ἔπαλλον καὶ ἤλγουν νὴ τοὺς πόνους, ὦ φίλτατοι, μέγιστα· ἔστεγον δ' ὅμως ταῖς βίαις ὠθούμενος, τῇ δέ γε ὠλένῃ μοι τῇ λαιᾷ μεγάλην ἀσπίδα προσεπαρτύουσι καὶ τῇ δεξιᾷ ἕτερον ὃ ἦν ἐπ' εὐθείας τοὺς λοχῶντας λήθαις διώσασθαι. Τούτοις ὅλος ὅλως κατάφρακτος ἤδη γενόμενος, ὅλως ἀπείρῳ δέει βαλλόμενος, ὁμοφύλων δηλονότι καὶ βαρβάρων σκοπουμένων τὴν δίοδον, ἄλλως τε καὶ πολυημέρῳ νηστείᾳ παντελοῦς ἀσιτίας καὶ τῇ ἄλλῃ κακότητι, αἷς πρὶν ἐκτετρύχωμαι, οὐκ ἐνδείᾳ χρειωδῶν εἰπεῖν, οὔμενουν, ἀλλὰ λύπῃ φύσεως τῆς ἐπικρημνήσεως ἐκείνης καὶ οὐχ ὁδοῦ· οὕτω γὰρ εἰπεῖν οἰκειότερον ἐφερόμην ὅλος ὅλως σχεδὸν ὑποβρύχιος.

'Αλλὰ πάντες μὲν οἱ ἀμφ' ἡμᾶς τῇ ἠϊόνι τάχος παρέστηκαν καὶ ναυσίπλοοι ὅσον οὔπω γεγέννηται, αὐτὸς δ' ἄνω

SISMANOGLIO MEGARO



που μόνος καὶ πόῤῥω, οἴμοι, κατέβαινον σκάζων θαμειῶς νὴ τὴν βίαν καὶ ξυμποδούμενος καὶ πολλάκις τε πίπτων καὶ μηδ' εὐθέως νὴ τὴν σωτηρίαν τὴν ἐμὴν ἀνορθοῦσθαι δυνάμενος, ἀλλ' ἤδη δὲ καὶ ξυνεχέστερον πίπτων ἐδεδίουν μάλα τὸ κράτος νὴ τὴν βίαν, ὦ βέλτιστοι, ὡς μή ποτέ μου τῆς κάρας ἤδη παρεκπεσούσης γνώριμόν με τῷ εἴδει τοῖς ἑστῶσιν ἄγχι ποιήσοιεν· ἤδη γὰρ τῇ χαράδρᾳ ἐκείνῃ τῇ ἀπευκταίᾳ, ἣν διαβαίνειν παρηναγκάσμεθα καὶ ἄνδρας ξύν ἄλλοις ἐνόπλους ἐφιστῶσι θεωροὺς ἢ σκοποὺς 'Ιταλοὺς ἐς ἐμήν, ὡς ὑπήδετο, σκόπησιν. Τοῦτο δέ μοι καὶ πάσχοντι καὶ γοργὸν ἐπιτρέχοντι καὶ μὴ δυναμένῳ καὶ πίπτοντι δέος ἐνεποίει φρικτὸν καὶ ψυχὴν αὐτὴν πρὸ θανάτου δεινῶς ἀπεφύσων καὶ τὴν ζωὴν ἐταλάνιζον καὶ ἵνα τί τῷ βίῳ τούτῳ προσελθεῖν ἀπὸ μήτρας, ὦ φῶς καὶ ἥλιε, ἅμα ξὺν δάκρυσιν ἔλεγον. Εἰ δὲ καὶ γεγενῆσθαι μοι προώρισται, ἵνα τὶ καὶ μὴ πάλαι ἀπέθανον ὑπὸ τοκεῦσι φιλτάτοις μοι. 'Ιδοὺ τὸ ἰνίον μοι σφόδρα τῇ περικεφαλαίᾳ τετρύχωται, οἱ τένοντες καὶ πάνυ μοι δυσφοροῦσι καὶ κακῶς ἔχουσιν· ἰσχία καὶ ἦτρον, ἐπ' αὐτὰ γάρ, οἴμοι, ὁ τοῦ ξίφους ἤδη ζωστὴρ κατεβεβήκει δὴ παρωθούμενος, ἀλγεῖ καὶ τὴν ὀδύνην ὑποφέρειν οὐ δύναται· ἰγνύαι μοι δέει καὶ ἰσχνότητι ξὺν ἀδυναμίᾳ καμπτόμεναι ἀνορθοῦσθαι ἥκιστα δύνανται· γαστροκνῆμαί τε καὶ περικνήμια τρόπον ὅμοιον ἥκιστα σθένουσι καὶ ὀδυνῶνται πολλῷ χαλεπώτερον, οἱ ταρσοὶ δὲ καὶ πέλματα ὥσπερ αἱμοδιῶντα ἥκιστα βαίνειν αἰσθάνονται καὶ ὁδοιπορίας ἀπείρηκε καὶ τὼ χεῖρε ἠτονήκετον μάλιστα. 'Αλλ' ἴδε, φιλάνθρωπε δέσποτα, καὶ μή με οὕτω παρόδιον ἄχθος εἰς γελοῖον τοῖς παροῦσιν ἀπολείποις τὸν οἴκτιστον· ἡ ἀρωγή, ἡ ταχεῖά μοι ξύμμαχος, ἡ στεῤῥοτάτη βοήθεια, ὦ δέσποινα, πρόφθασον, τοὺς πόδας δυνάμωσον καὶ κατεύθυνον ὀξὺ προβαίνειν πρὸς ἠϊόνας κελεύσασα· τῇ κεφαλῇ τὸ βάρος ἐλάφρυνον, τὰς χεῖρας νάρκης ἀπάλλαξον· ἐνίσχυσόν με, ἁγνὴ παρθένε θεοτόκε κυρία, τῷ σθένει σου καὶ τοῖς ἑταίροις ξυγγενέσθαι θᾶττον καὶ πορείας αὐτοῖς κοινωνῆσαι ῥᾷον εὐδόκησον, ὅτι πᾶσα δόξα σοι παρ' ἡμῶν εὐτελῶν καὶ αἶνός ἐστι καὶ προσκύνησις ἀεὶ σὺν

αὐτῷ τῷ μονογενεῖ σου υἱῷ καὶ θεῷ, ἀειπάρθενε ἐπίκουρε δέσποινα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα θάρσει μάλα πλησθεὶς καὶ δυνάμεως ᾐσθηθεὶς οὐκ ὀλίγης τὸν ᾐόνα κατέλαβον καὶ τὸν δρόμωνα πελάγιον ἤδη γενόμενον καταρᾶι πάλιν πεποίηκα καὶ ἔνδον τοῦδε γενόμενος ἀνεθάρσησα νὴ τὸν ἀληθῆ φιλίας ἔρον, ὦ φίλτατοι, καὶ θαλαττίοις ἐῤῥύμην ὕδασι καὶ ἀνέψυξα. Καθόλου δὲ νύκτωρ ἐκεῖθεν, νυκτὸς γὰρ ἤδη πεπλεύκαμεν, ταῖς ἀκταῖς τοῦ φρουρίου γεγόναμεν, ἕωθεν δε τῶν τοῦ φρουρίου κατάφρακτοι παραγενόμενοί τινες ὡς ἡμᾶς ἀναλαβόμενόν τε τὴν πολίχνην θαῤῥικῶς ἀνεβίβασα.ν Εἴσω τοίνυν τοῦ ἐρύματος μόλις ἤδη γενόμενοι τῷ σωτῆρι χαριστήρια θεῷ κατεθύομεν καὶ τῇ θεομήτορι. Τὸ δέ γε πολίχνιον τοῦτο οὐ πόῤῥω δηλονότι θαλάττης ἔστιν ἀνῳκισμένον, ἐπὶ μετεώρου δ' ἔστηκε τόπου καὶ κολωφῶνος ὑπερανέστηκε λίαν ὡς ἑωρᾶσθαι τοῖς μακρὰν διαέριον, ἔστι καὶ δυσάντητον πάνυ μικροῦ καὶ ἀνάλωτον πολεμίοις τείχεσί τε περιεζωσμένον ὀχυρωτάτοις καὶ δυσχερείας θέσει πάντῃ πεφυλαγμένον, ἡδύτατά τε νάει ταῖς ὑπωρείαις ὕδατα, ἔστι δ' ὅτε καὶ προσηταιρισμένον τοῖς πλησίον οἰκοῦσι βαρβάροις ἐνίοτε μέν, ἔστι δ' ὅτε καὶ ἀεὶ διὰ τὸ δυσάλωτον. Εἰ δ' οὖν, ἥκιστ' ἂν ὑπὸ τούτων βλαβήσεσθαί ποτε προσδοκᾶται· ἀλλ' ἐπεὶ τοὐναντίον οἱ βάρβαροι μάλιστα πάσχουσι, σπένδονται μάλα τούτοις προσεταιριζόμενοι καὶ ἀλλήλοις ξυζῶσιν ἀκινδυνώτερον. Ἀμέλει καὶ οὕτως ἡμῶν ἐχομένων ναυσίπλοοι πάλιν καθ' ἡμῶν οἱ κρατοῦντες τριήρεσί τε καὶ λέμβοις καὶ ἀκατίοις καὶ δρόμωσιν ὑπέρ γε τὰ εἴκοσι καὶ στρατεῖαν οὐκ ὀλίγην ἅμα ξυναγηοχότες ἐπίσημον, ἱππικήν τε καὶ πεζικὴν ἔκ τε θαλάσσης καὶ ἠπειρόθεν ταῖς τῆς πολίχνης ταύτης ᾐόσι προσβάλλουσιν· ἔχεται γὰρ οὐχ ἥκιστα καὶ ᾐόνων καὶ ὅρμων τὸ ἔρυμα, εἰ καί τισι μέτροις διϊσταμένοις· Κεγχρεῶν τουτὶ κατωνόμαστο. Ἵστανται τοίνυν κατέναντι τοῦ κέρως τοῦ ἄστεος, τὰ δ' ἐν μέσῳ τούτοις παρίημι· ὅθεν καὶ τῶν ἑξῆς ἀποπαύειν μὲν ἠβουλόμην, ὡς μὴ ὤφελε ταῦτα προβῆναι, μήτε μὴν θεαθῆναι ἡλίῳ, σελήνῃ, ἄστρασιν ὡς εὐσεβέας οὕτω θεῷ ὑπ' ἀλλήλων σφῶν βαλλομένους ἅμα καὶ πίπτοντας κἂν εἰς



πέρας μάλα θεὸς προβῆναι τὸ δεινὸν οὐκ ἐπένευσεν. Ἀλλ' ὢ προσβολῆς ἐναντίας καὶ κακοδαίμονος, ὢ θεοῦ κριμάτων ἄφατος ἄβυσσος! Ὄντως ὄφεως παλαιγενοῦς ἀρχεκάκου καὶ τοῦτο καὶ τινων συγχαιρόντων αὐτῷ ἐπὶ τούτοις τὸ βούλημα, ἥκιστα δέ φημι τῶν κρατούντων τὸ θεομισότατον τοῦτο, ὅτι γε ξὺν πολλῇ εὐσεβείᾳ καὶ ἄλλοις ἐκλάμπουσιν ἀγαθοῖς εἰς θεὸν κατορθώμασιν. Ἐπιβουλὴ δὲ μᾶλλον σατανική τίς φημι καὶ σκαιότης ἐνίων δεινῶν· τότε γαρ τότ' ἐτολμήθη τὰ πάνδεινα καὶ ἀμφῖν τοῖν μεροῖν· ἀκροβολισμοί τε γὰρ ἦσαν τὰ πρῶτα ἐμφύλιοι καὶ οἰστῶν, ὢ βία, τρώσεις ἀλλήλοις ἠφίεντο· καὶ τίς ἀδακρυτὶ παρέλθοι τῇ μνήμῃ τῷ νῷ βαλλόμενος; Ταῦτα καὶ τὰ τοιαῦτα ὑπ' ἐμοῖς δρῶν ὄμμασι δακρύων ὅλος ὅλως γεγένημαι· ὅθεν μηδὲ βλέπειν τοσοῦτον μύσος ὅλως δυνάμενος ἔνδον γίνομαι τοῦ θείου τῇ δε νεῴ, ᾧ δὴ καὶ προσήδρευον, καὶ ῥίψας ἐς τὸ ἔδαφος ἐμαυτὸν ὅλος ὅλοις ὀχετοῖς δακρύων ἔπλυνον καὶ τῇ τῆς ἀχράντου παρθενομήτορος θείᾳ εἰκόνι ἀτενὲς ἐνητένιζον καὶ κατὰ γῆς πρηνὴς κείμενος ὑπ' ἀχράντοις ταύτης ποσί, τί μὲν οὐκ ἔλεγον, τί δὲ οὐχ ἱκέτευον; στῆσον, ὦ πρόμαχε δέσποινα, τὴν νῦν, ὡς ὁρᾷς, καταιγίδα παρακαλῶν γεγονὸν ἔλεγον. Παῦσον τὴν ἀγριαίνουσαν λαίλαπα· στῆσον τὴν ἕως ἄρτι τῶν συμφορῶν κατοιδαίνουσαν θάλατταν· κόπασον τοὺς τυφῶνας· εἰρήνην βράβευε κατ' οἰκετῶν ὀργιζομένοις τοῖς ἄναξι· δίδου τοῖς ἀλγοῦσι τὰ πρόσφορα· παυθῆναι χορήγει τὰς μάχας· τὰ διεστῶτα μητρικῇ πρὸς θεὸν σύναψαι παῤῥησίᾳ· μεγάλα δύνασαι, ὑπὸ σοί γε πάντα τελεῖ τὰ βελτίω καὶ κάλλιστα. Ἐπεὶ δέ μοι τέλος τὴν εὐχὴν διεδέχετο καὶ πρὸς δύσιν ἐπικλίνειν ὁ Φαέθων ἠπείγετο, σπονδή τις καὶ ἀμφοῖν ἐτελεῖτο χρηστή, σὺν ἄρα καὶ τοῦτο τῶν ἀγαθῶν ἡ ἀγαθοδότης παρθένος καὶ δέσποινα, καὶ ἅμα ἑσπερίῳ γε δύσει αἵ τε τριήρεις καὶ ἡ λοιπὴ ναυμαχία καὶ ἡ ἄλλη στρατεία οἴκαδε ἀνεχώρησε καὶ μετάμελος οὐ πάνυ τι μέτριος αὐτοὺς τ' ἐκείνους καὶ τοὺς ξὺν ἡμῖν εἶχεν ἄρα διὰ τὸ μύσος τὸ ἔμφυλον.

Ἀμέλει δὴ καὶ τοῦ Θὼθ οὑτωσὶ παριππεύσαντος, ᾧ γοῦν καὶ ταῦτ' ἐξεπράχθη, σκοπός τις φοιτᾷ τοῖς ἑταίροις ὄντως

SISMANOGLIO MEGARO

θεοφιλὴς ὡς λῦσαί γε πάντα τὰ μεταξὺ καί γε τοῖς ἄναξι προσελθεῖν καὶ ἵλεως τούτους ποιήσασθαι. Τοῦτο δὲ καὶ βουλῇ βεβουλεύμεθα ὅτι χρηστῇ· ἤδη γὰρ καὶ αὐτός νὴ τοὺς λόγους καὶ τὸν φίλιον ἔρον, ὦ βέλτιστοι, μάλα τῇ δε ξυντέθειμαι, ἐῤῥέτω φθόνος καὶ δέος ἅπαν πόῤῥω βαλλέσθω μοι. Διαπρεσβεύεται τοῦτο τοίνυν διὰ γραμμάτων τοῖς ἄναξι, φθάνουσι δὲ παραχρῆμα κἀκεῖθεν ἡμῖν τῶν ἐν τέλει τινὲς προὔχοντες σπονδὰς ζητοῦντες καὶ συνδιαλλαγὰς εἰρηναίας πάντα τε ὑπισχνούμενοι καὶ ἐπαγγελλόμενοι τὰ χρῆστὰ, ἐφ’ οἷς καὶ δι’ ὅρκων ἔμπεδα γράμματα ἡμῖν μὲν φέροντες ἐπεδίδουν, ἐχεγγύους τούτων ἀῤῥαγεῖς δὲ καὶ Ἰταλῶν ἐτίθουν τοὺς προὔχοντας Τούτοις δὲ πᾶσιν ἀναθαρσήσαντες καὶ πρό γε ἁπάντων ἐπὶ τε σωτῆρι θεῷ καὶ τῇ χρυσῇ θεομήτορι τῆς βασιλικῆς ἐπιβάντες ἅμα τριήρεως τῆς ἐπὶ τούτῳ σταλείσης εὐχαῖς ἁπάντων ἁγίων, αἷς ἐπεποίθειμεν, τῆς ἐπὶ Τραπεζοῦντα πορείας εἰχόμεθα. Προσχόντες τοίνυν τὰ πρῶτα Τριπόλεσι κἀκεῖθεν ἀπάραντες ἕωθεν τῷ Δαφναίῳ λιμένι κατήραμεν, ᾗ καὶ τὸ Ἰταλῶν ἕστηκεν ἔρυμα· τῇδε γὰρ προσορμίζειν τετάγμεθα, ὥσπερ δῆτα πρὸ ἡμῶν ἔναγχος καὶ ὁ μέγας ὥρμισε δοὺξ, ὁ τοῦ ξὺν ἡμῖν ἑταίρου δουκὸς πατὴρ, οὗ καὶ ἀνωτέρω παρὰ Κερασοῦντι καὶ Κεγχρεῶνι τοῦ λόγου μεμνήμεθα, καὶ ἕωθεν τῇ Τραπεζουντίων πόλει καὶ τοῖς πραέσιν ἄναξιν ηὐμενίσθημεν προτρίτην καλανδῶν ἄγοντος τοῦ παρ’ Ἕλλησι Δίου, ἤτοι ἐν ὀγδοάδι τε καὶ εἰκάδι τοῦ παρ’ Αἰγυπτίοις Ὑπερβερεταίου, οἵ γε καὶ παῦλάν τινα τῶν μακρῶν περ ἠλπίκαμεν ἀνευρέσθαι κόπων παρὰ σωτῆρι θεῷ διὰ τῆς χρυσῆς θεομήτορος· αὐτῷ γὰρ ὄντως ἴσμεν μελήσοι μάλα δὴ καὶ ἡμῶν τῶν πᾶσαν ἤδη σωτηρίας πεποίθησιν ἀπηρτηκότων αὐτῷ ἅ τε ἀληθεῖ παροχεῖ τῶν χρηστῶν καὶ δημιουργῷ καὶ ταμίᾳ καὶ πρυτάνει μεσῖτιν ἀγαθὴν ἀεὶ προβαλλόμενοι καὶ προστάτιν καὶ δότειραν τὴν ἀειευλόγητον καὶ κεχαριτωμένην παντάνασσαν, τὴν μόνως μόνην ἀῤῥήτως παρθενομήτορα, τὴν ὁδηγὸν ἡμῖν τοῦ φωτὸς, σωτηρίας τὴν πάροχον, τὴν ὑπέρμαχον καὶ ξύμμαχόν μοι, ἐλπίδα καὶ σώτειραν, ἣν οὐκ ἐξικνοῦμαι ἀνυμνῆσαι ὅλως ταλαίπωρος.

Τούτων οὕτω μὲν οὖν παρηκολουθηκότων μοι ἄνωθεν καὶ ἀπ’

SISMANOGLIO MEGARO



αὐτῆς μοι τῆς κάτω γεννήσεως κἂν ταῖς ἀπείροις ξυμφοραῖς τῶν ἀπειράκις ἀπείρων δωρεῶν ἀπολαύσας αὐτὸς ὁ τούτων ὅλος ὅλως ἀνάξιος παρὰ τῆς σῆς ἀγαθότητος, ἀξιύμνητε ἄχραντε παρθένε θεοτόκε, ἡ βεβαία μοι ξύμμαχος, ἐπὶ τὴν παροῦσαν τῆς ἱστορίας ἐφωρμήκειν ἀφήγησιν ὡς εὐχαριστίας ἀνάπλιως εἴ γε καὶ ἀσθενείᾳ νοὸς ἡμῖν ἀμυδροῦ ἐξαριθμεῖν καθ’ ἕκαστα οὐκ ἔτι δεδύνημαι, παρειάθη δέ μοι τὰ πλείω καὶ ὡς ἐξίτηλα πάλαι τῷ χρόνῳ γεγενημέναμὴ σθένοντι πάντα περιβαλέσθαι τῶν παρὰ σοῦ δωρεῶν καί ἀξιόχρεων ἀναπέμψαι σοι εὐχαριστήριον ὕμνον, παντάνασσα· πλὴν δ’ ἀλλ’ ἐπεί σοι φίλα πάντα τὰ κατὰ δύναμιν, ὡς ἄρα τῷ μονογενεῖ σου υἱῷ καὶ θεῷ, δέξαιο τόνδε τὸν ἐκ τῆς ἐμῆς οὐθενείας ἅμα σοι καὶ ἀσθενείας προσφερόμενον λόγον ἱκέσιον, εἰ καὶ πάμπαν βραχὺς οὑτοσὶ τυγχάνει καί πάντων εὐτελῶν εὐτελέστερος τῶν ὀφειλομένων τῇ σῇ ἀγαθότητι εὐχαριστηρίων ἐγκωμίων προσφέρεσθαι. Ἵλεως ἵλεως εἴης ἡμῖν ἀεί, ἀειπάρθενε πρόμαχε καὶ τῆς ἐμῆς ἀσθενείας ἐπίκουρε, χρηστεύεσθαι δὲ καὶ μακροθυμεῖν ἐφ’ ἡμῖν ἀεὶ πταίουσι καὶ προσκαλουμένοις σου τὸν φιλάνθρωπον ἔλεον· μή ποτε λίποις ἀλλὰ καὶ τὸν γλυκύτατον γόνον σοι, ὃν ἀῤῥήτω ςγεγέννηκας, ἄχραντε, κύριον ἐξευμενίζειν μὴ ἀναβάλλοιο, μηδ’ ἀναδύοιο· πάντα σοι ὑποτέτακται, πάντα δουλεύει σοι ὁρατὰ καὶ νοούμενα· πάντα σοι τὰ παρ’ ἡμῶν ἐξαιτούμενα, καὶ εἰ πταίομεν, εὐχερῆ τε καὶ ῥᾴδια· εὐσυμπάθητος ἄγαν ὑπάρχεις καὶ ἀνεξίκακος· θεὸν γὰρ φέρεις ὑπὲρ πάντα τόκον φιλάνθρωπον ἡ τούτου, παρθένε, παραδόξως γεγονυῖα γέννήτρια· πρέσβιν οἶδά σε πρὸς αὐτὸν ἀπαράλειπτον καὶ χορηγὸν ἀνθρώποις ἐσφαλμένοις ἀφέσεως· σχέσιν ἔχεις ξυμπαθῶς ξυμπαθείας ἀεὶ εἰς τὸν ἄνθρωπον· διὸ καὶ πεποίθαμεν ἐπὶ σὲ θαῤῥικῶς ἐς τά μάλιστα καὶ ἐπὶ σοί γε μόνῃ παρὰ θεοῦ τὰς ἐλπίδας σαλεύομεν πάντες πιστεύοντες ἄνθρωποι. Πάρασχε τοίνυν ἡμῖν δεομένοις καὶ χρωτὸς ἁπτομένοις ἁγίου σου ἀπαλλαγὴν δυσχερῶν καὶ μάλιστα τῶν ἐπικειμένων νυνί· δίδου δὲ καὶ νῦν τὰ σωτήρια ὡς μυριάκις τὸ πρίν, δῴης δὲ καὶ τὴν ἐνεγκαμένην θᾶττον ἰδεῖν πολλοῦ πάλαι ταύτης ἡμᾶς ἀποδέοντας, τὴν πόλιν τὴν σήν, τέμενος οὖσαν ὅλην τὸ σόν,

τεῖχος τυγχάνουσαν σόν, χρυσῆν ἐμὴν πατρίδα καὶ φίλην, ταύτης ἐναπολαῦσαι καὶ τῶν τροφείων μεταδοῦναι αὐτῇ· δώρησαι αὐτῇ σταθερὰν ἀγαλλίασιν ἄνωθεν, ἀνάπτυλαν ἀγαθήν, θραῦσον τὸν ἀντίπαλον ὁρᾷς οἷον ὁποίοις βάλλεται νῦν. Κόπασον τοὺς ἐνεγειρομένους αὐτῇ τῶν ἀνέμων ἀγρίους τυφῶνας, τὰς λαίλαπας κατακοίμησον, ἀφάνισον τὰς διπλᾶς καταιγίδας, διασκόρπισον τοὺς κακίστους κηφῆνας, πάταξον τοὺς βρούχους, ἔκτιλον τὰς ἀκρίδας, σβέσον ἐν νυξὶ νυκτερίδας, πήρωσον νυκτικόρακας, ἀποδίωξον πάντα λοιμόν, νόσον διττήν, καὶ λιμόν τε διπλοῦν σωματικῆς καὶ ψυχικῆς εὐεξίας παντοδαπῆς καί θραῦσον φῦλα βαρβάρων ὀῤῥωδούντων αὐτήν, ἀνάστησόν τε κατὰ πάντων αὐτῇ πειρατῶν στεῤῥότατα τρόπαια ἡ ἀνίκητος ταύτη φρουρὸς καὶ ὑπέρμαχος· σή ἐστιν οἶδα ἡ πόλις· πάρεχε νίκας αὐτῇ ἀῤῥεπεῖς, ὄνομά τε δίδου, νίκην κατὰ πάντων πολεμίων περίπυστον, ἅμα τοῖς πιστοῖς αὐτοκράτορσι θεοφιλέσι καὶ σοῖς γε ὅλοις τυγχάνουσι, δώρησαί τε κἀμοὶ τῷ καθόλου γε σοὶ καὶ οἰκέτῃ βραχεῖ καὶ δούλῳ ἐωνημένῳ καὶ ἱκέτῃ τῆς εὐσπλαγχνίας σου, δέσποινα, ἅμα ξὺν τούτοις καὶ Μάρκον ἰδεῖν καὶ Λουκᾶν καὶ χερσὶ χεῖρας ἐπιβαλέσθαι καὶ περιπτύξασθαι πάντων ἥδυτατα. Περὶ τούτου τὴν σὴν ἱκετεύω, κυρία, εὐσυμπάθητον περὶ ἐμὲ κηδεμονίαν τῆς ἀπλέτου σου ἀγαθότητος, παράσχου μοι τούς δ' ἰδέσθαι καὶ περιπτύξασθαι πᾶσιν εὖ ἔχοντας, πάντων ἀνιαρῶν ἀνωτέρους πάσης κακίας ἀπηλλαγμένους, πάσαις ἀρετῶν ἰδέαις κεκοσμημένους, πάσαις εὐεξίαις ψυχῶν ξυνάμα σώμασιν ἐωραμένους· ὑπὲρ ὁμαίμου καὶ ἀδελφιδοῦ λιπαρῶ καὶ προσπίπτω καὶ δέομαι, ἵλεως ἵλεως ἡμῖν εἴης ἀχρείοις οἰκέταις καὶ θαῤῥικῶς δεομένοις τῆς σῆς ἀγαθότητος. Ναὶ ναί, ὦ δέσποινα καὶ κυρία καὶ τῶν ἐμῶν ἐλπίδων ἀκαταίσχυντε πρόμαχε, δώρησαί μοι ξὺν ἐμῇ τῇ πατρίδι τῇ πόλει σου τοὺς ἐμοὺς καὶ πάντας τοὺς ἐκεῖσε τῶν ἄλλων θεάσασθαι τάχιον, ἀθιγεῖς δηλαδὴ λωβημάτων καὶ πάσης ζάλης ἐκτός, χάρισαί τε καὶ πάσῃ πολιτείᾳ πιστῇ καὶ χρηστῶς εὐσεβούσῃ σε εἰρηναίαν εὐστάθειαν καὶ παθῶν διττῶν ἀπαλλαγὴν καὶ δυσχερῶν ἀπολύτρωσιν τῶν ἀϊδίων τε καὶ μακαρίων τρυφῶν τὴν ἀπόλαυσιν, αὐτούς τε ἡ-



μᾶς τοὺς σοὺς ἀναξίους οἰκέτας καὶ πάντας πιστῶς αἰτουμένους σε τὴν σωτήριον ἄγκυραν, τῶν ἐφετῶν ἐς τάχος ἀξίωσον, ὦ δέσποινα, ἡμᾶς δ' ἔτι καὶ ἐνεγκαμένης εἴσω τάχος γενέσθαι καλῶς τροπαιουχούσης οὕτω στεῤῥῶς κατ' ἐχθρῶν ἐλέῳ φιλανθρωπίας σου ὄρεγε, δέσποινα, διττήν γε πλουτοῦντας ὑγίειαν, ὡς ἂν σου κἀκεῖ τῇ φιλανθρώπῳ χρηστότητι ᾄσωμαι ᾠδὴν ἐπινίκιον, ὕμνον εὐχαριστήριον, ἀλαλαγμόν τε παιάνειον ἅμα καὶ εἰσιτήριον, εἴ γε καὶ παρὰ πολὺ τῆς ἀξίας ἔσται λειπόμενος· κἀκεῖθεν τῆς χαρᾶς ἡμᾶς ἀξιώσαις τῆς ἀνωλέθρου καὶ μακαρίας τῆς παρὰ σοί τε καὶ μετὰ σοῦ καὶ πρὸ σοῦ τῇ ἀθανάτῳ καὶ ζωοποιῷ καὶ ὁμοουσίῳ καὶ πανδομήτορι καὶ ἀδιαιρέτῳ καὶ συναϊδίῳ Τριάδι, ᾗ πᾶσα αἴνεσις πρέπει καὶ λατρεία καὶ δόξα καὶ ὕμνος τε ἅμα καὶ προσκύνησις καὶ μεγαλοπρέπεια ἐπουρανίων ἅμα καὶ ἐπιγείων διὰ σοῦ καὶ σὺν σοί, θεομῆτορ ἀσπόρως ἀφθόρως, ἀῤῥήτως, παρθένε παντάνασσα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων καὶ ἀϊδίων. Ἀμήν.

SISMANOGLIO MEGARO

## ΤΑ ΤΩΝ ΜΗΝΩΝ ΟΝΟΜΑΤΑ,

*Οἷς Λιβαδηνὸς ἐχρήσατο αὐτὸς ἐν τέλει τοῦ χειρογράφου προσγράψας.*

| Ῥωμαίων | [Αἰγυπτίων] | [Μακεδόνων] [ὁ Ζωδιακὸς] κύκλος | [Καππαδοκῶν] | [Μακεδόνων] | [Ἑβραίων] | [Βιθυνῶν] | Κυπρίων |
|---|---|---|---|---|---|---|---|
| Ἰανουάριος | -Τυβί | -Αἰγόκερως | -Τίρηξ | -Αὐδιναῖος[1]) | - Νισὰν | - Ἥρεως | -Ἀφροδίσιος |
| Φευρουάριος | -Μεχεὶρ | -Ὑδροχόος | -Ματὰ | -Περίτιος | - Ἰὰρ | -Ἕρμος | -Ἀπογονικος |
| Μάρτιος | -Φαμενὼθ | -Ἰχθὺς | -Ξανθυρὶ | -Δίστρος[2]) | -Ψεθοὰν[4]) | -Μητρῷος | -Αἰνικὸς |
| Ἀπρίλιος | -Φαρμουθὶ | -Κριὸς | -Μιθρὶ | -Ξανθικὸς | -Θαμνὶ[5]) | -Διονύσιος | -Ἰούνιος |
| Μάϊος | -Παχὼν | -Ταῦρος | -Ἀπονμεναμὰ | -Ἀρτεμίσιος | -Ἂβ | -Ἡράκλειος | -Καισάριος |
| Ἰούνιος | -Παυνὶ | -Δίδυμος | -Ἀρθρὰ | - Δέσιος[3]) | -Ἐλοὺλ[6]) | -Δῖος | -Σεβαστὸς |
| Ἰούλιος | -Ἐπιφὶ | -Καρκῖνος | -Τεθουσιὰ | -Πάνεμος | -Θερσὶ[7]) | -Βενδιαῖος | -Αὐτοκρατορικὸς |
| Αὔγουστος | -Μεσωρὶ | -Λέων | -Ὡσμονιὰ | -Λῷος | -Μορσουὰν[8]) | -Στρατήγιος | -Δημαρχεξούσιος |
| Σεπτέμβριος | -Θὼθ | -Παρθένος | -Σονδαρὰ | -Γορπιαῖος | -Χασαλεὺ[9]) | -Ἄριος | -Πληθύπατος |
| Ὀκτώβριος | -Φαωφὶ | -Ζυγὸς | -Ἀρταεστὶν | -Ὑπερβερεταῖος | -Τυβιθὶ[10]) | -Περιέπιος | -Ἀρχιερεὺς |
| Νοέμβριος | -Ἀθὺρ | -Σκορπίος | -Ἀραιότατα | -Δῖος | -Σαβὰτ | -Ἀφροδίσιος | -Ἔσθιος |
| Δεκέμβριος | -Χοιὰκ | -Τοξότης | - — | -Ἀπηλαῖος | -Ἀδὰρ | -Δημήτριος | -Ῥωμαῖος |

---

Ἐν τοῖς Ἰωάννου τοῦ Δαμασκηνοῦ συγγρ. Τόμ. Α[1], σελ. 577 ἔκδ. Βενετ. 1748. 1) Αὐδυναῖος. — 2) Δύστρος. — 3) Δαίσεος. — 4) Σιουάν. — 5) Θαμούζ. — 6) Ἀλούλ. — 7) Θισρί. — 8) Μαρσονάν. — 9) Χασλεύ. — 10) Τιβήθ.